63. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ πατὴρ ἀπέσταλκεν τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. (ΙΩΑΝΝΟΥ Α 4:13-14)

64. Καὶ ἡμεῖς ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς ἐν ἡμῖν. Ὁ θεὸς ἀγάπη ἐστίν, καὶ ὁ μένων (el que permanece) ἐν τῇ ἀγάπῃ, ἐν τῷ θεῷ μένει, καὶ ὁ θεὸς ἐν ⌜ αὐτῷ μένει. ⌝

65. Εὐχαριστοῦμέν (Agradecemos) σοι, κύριε ὁ θεὸς … ὅτι εἴληφας τὴν δύναμίν σου τὴν μεγάλην, καὶ ἐβασίλευσας (reinaste). (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 11:17)

66. Μετανοεῖτε (Arrepiéntete)· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

67. Ὁ δὲ … εἶπεν, Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ (que sale) διὰ στόματος θεοῦ. Τότε παραλαμβάνει αὐτὸν ὁ διάβολος εἰς τὴν ἁγίαν πόλιν, καὶ ἵστησιν αὐτὸν ἐπὶ τὸ πτερύγιον (pináculo) τοῦ ἱεροῦ, καὶ λέγει αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ θεοῦ… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 4:4-6)

68. γέγραπται γὰρ ὅτι Τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται (él mandará) περὶ σοῦ, καὶ ἐπὶ χειρῶν ἀροῦσίν σε…

69. γέγραπται γάρ, Κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις (servirás). Τότε ἀφίησιν αὐτὸν ὁ διάβολος (diablo)· καὶ ἰδού, ἄγγελοι προσῆλθον… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 4:10-11)

70. Ὁ δὲ Ἰησοῦς … εἶπεν, Θάρσει (Ánimo), θύγατερ (hija)· ἡ πίστις σου σέσωκέν σε. Καὶ ἐσώθη ἡ γυνὴ ἀπὸ τῆς ὥρας ἐκείνης.

71. Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 10:7)

72. οὗτος γάρ ἐστιν περὶ οὗ γέγραπται, Ἰδού, ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει (preparará) τὴν ὁδόν σου ἔμπροσθέν σου.

73. …εἶπεν αὐτοῖς ὅτι Ὑμῖν δέδοται γνῶναι (saber) τὰ μυστήρια (misterios) τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται. Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 13:11-12)

74. Ὁ δὲ εἶπεν αὐτοῖς, Οὐ πάντες χωροῦσιν (aceptan) τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται.

75. Καὶ λέγει αὐτοῖς, Γέγραπται, Ὁ οἶκός μου οἶκος προσευχῆς κληθήσεται· ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον (cueva) λῃστῶν (de ladrones). (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 21:13)

76. Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ (ay) δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

77. ἰδού, ἤγγικεν ἡ ὥρα, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 26:45)

78. Οὐκ οἶδα τὸν ἄνθρωπον.

79. …ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων (predicando) τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ θεοῦ, καὶ λέγων (diciendo) ὅτι Πεπλήρωται ὁ καιρός, καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ· (ΚΑΤΑ ΜΑΡΚΟΝ 1:14-15)

80. …τί ἡμῖν καὶ σοί, Ἰησοῦ Ναζαρηνέ; Ἦλθες ἀπολέσαι (destruir) ἡμᾶς; Οἶδά σε τίς εἶ, ὁ ἅγιος τοῦ θεοῦ.

21.7 VOCABULARIO

Verbos

1. **ἀσθενέω** estoy enfermo, débil Santiago 5:14
   Ἀσθενεῖ τις ἐν ὑμῖν; Προσκαλεσάσθω τοὺς πρεσβυτέρους
   ¿**Está** alguno entre ustedes **enfermo**? Que llame a los ancianos

2. **βλασφημέω** blasfemo Hechos 26:11
   κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτούς, ἠνάγκαζον **βλασφημεῖν**·
   en todas las sinagogas, muchas veces castigándolos, *les* obligaba a **blasfemar**.

3. **περισσεύω** abundo 1 Co 15:58
   περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ κυρίου πάντοτε
   siempre **abundando** en la obra del Señor

4. **πλανάω** engaño 1 Juan 1:8
   Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς **πλανῶμεν**
   Si decimos que no tenemos pecado, nos **engañamos**

5. **πράσσω** practico, hago Rom 7:15
   οὐ γὰρ ὃ θέλω, τοῦτο **πράσσω**·
   porque lo que no quiero, esto **hago**.

Sustantivos

6. **ἡ ἐπιθυμία**, ας deseo, lujuria
   Ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ Πάσχα φαγεῖν μεθ' ὑμῶν Lucas 22:15
   He deseado con un gran **deseo** comer esta Pascua con ustedes

7. **ἡ θύρα**, ας puerta Ap 3:20
   Ἰδού, ἕστηκα ἐπὶ τὴν **θύραν** καὶ κρούω·
   Mire, estoy a la **puerta** y toco.

8. **τὸ πρόβατον**, ου oveja Juan 21:16
   Λέγει αὐτῷ, Ποίμαινε τὰ **πρόβατά** μου.
   Le dijo, “Da a mis **ovejas** de comer.”

9. **τὸ τέλος**, τέλους fin, meta Mateo 24:14
   καὶ τότε ἥξει τὸ **τέλος**.
   y luego el **fin** vendrá.

Adjetivos

10. **διάβολος, ον** calumnioso, *como sust:* diablo Juan 8:44
    Ὑμεῖς ἐκ τοῦ πατρὸς τοῦ **διαβόλου** ἐστέ
    Ustedes son del padre el **diablo**.

11. **καινός, ή, όν** nuevo(a) Lucas 22:20
Τοῦτο τὸ ποτήριον ἡ **καινὴ** διαθήκη ἐν τῷ αἵματί μου
Esta copa es el **nuevo** pacto en mi sangre

Preposición

12. **χωρίς** con genitivo sin, aparte de Juan 15:5
χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.
sin mí, ustedes no pueden hacer nada.

Conjunciones

13. **ἄρα** entonces, pues, por lo tanto Mateo 18:1
Τίς **ἄρα** μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν;
¿Quién, **entonces**, es mayor en el reino de los cielos?

14. **κἀγώ** y yo Mateo 21:24
κἀγὼ ὑμῖν ἐρῶ ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.
y yo les diré con qué autoridad hago estas cosas.

Adverbios

15. **ἄρτι** ahora 1 Co 13:12
Βλέπομεν γὰρ **ἄρτι** δι' ἐσόπτρου ἐν αἰνίγματι
Porque **ahora** vemos por un espejo veladamente

16. **οὐκέτι; μηκέτι** ya no Mateo 19:6
Ὥστε **οὐκέτι** εἰσὶν δύο, ἀλλὰ σὰρξ μία·
Así que, **ya no** son dos, sino una sola carne.

17. **πάντοτε** siempre Mateo 26:11
⌜ **Πάντοτε** γὰρ τοὺς πτωχοὺς ⌝ ἔχετε μεθ' ἑαυτῶν
Porque **siempre** ustedes tienen a los pobres consigo

18. **ποῦ** dónde, donde 1 Co 1:20
Ποῦ σοφός; **Ποῦ** γραμματεύς; **Ποῦ** συζητητὴς τοῦ αἰῶνος τούτου;
¿**Dónde** está el sabio? ¿**Dónde** está el escriba? ¿**Dónde** está el polemista de este siglo?

19. **σήμερον** hoy Hebreos 1:5
Υἱός μου εἶ σύ, ἐγὼ **σήμερον** γεγέννηκά σε
Tú eres mi Hijo; **hoy** yo te he engendrado

Partícula

20. **ἐν** (indica contingencia) a veces se agrega una forma de "hubiera" o "ía" al verbo o se refleja con "quiera" de "cualquiera". Juan 4:10
καὶ ἔδωκεν **ἐν** σοι ὕδωρ ζῶν
y él te **hubiera** dado agua viva

22 VERBOS DEL PRESENTE SUBJUNTIVO

22.1 GRAMÁTICA

22.1.1 Formas verbales del no-indicativo

Las formas verbales presentadas en los previos capítulos son del modo indicativo. Ahora los capítulos presentarán las formas que no son del indicativo. Estas formas incluyen el modo subjuntivo (capítulos 22-23), participios (capítulos 24-26), infinitivos (capítulo 27), y el modo imperativo (capítulo 28). Observe que los participios e infinitivos técnicamente no son modos sino formas que comparten algunas características de los verbos como el tiempo, la voz, y el número.

22.1.2 Las formas del no indicativo y el tiempo

Las formas del no indicativo comunican el tiempo (repasar 3.2.2). En general, los tiempos principales de las formas del no indicativo se limitan al presente, aoristo, y perfecto. Al igual que el indicativo estos tiempos comunican **cómo** la acción se presenta. El siguiente cuadro da un resumen de estos tiempos.

Tiempo	Cómo la acción se presenta
Presente	En progreso o en curso
Aoristo	De forma resumida
Perfecto	De forma resumida con resultados o efectos en curso

En cuanto al **cuándo**, el modo subjuntivo, los infinitivos, y el modo imperativo no describen el tiempo de una acción con las formas, aunque pueda ser que otros elementos del contexto sí describen el tiempo. Por otro lado, los participios muchas veces comunican un elemento temporal, pero es relativo o con referencia al tiempo del verbo principal.

Esta introducción es una simplificación para los fines de griego básico. El estudio adicional demostrará que las características léxicas (del vocabulario) y contextuales pueden afectar o expandir esta explicación básica.

22.1.3 El modo subjuntivo en español y griego

Como se mencionó en 3.2.4, el modo es una categoría gramatical que presenta la "actitud" del comunicador sobre lo que se dice o escribe. El indicativo es el modo principal a través del cual se da información o se hacen declaraciones. El modo imperativo es el modo principal de ordenar o mandar una acción. El subjuntivo es modo principal para expresar propósito, resultado, probabilidad, certeza, deseo, opinión, etc.

Por supuesto, el idioma cuenta con mucha flexibilidad. A veces el indicativo puede usarse para mandar una acción o expresar una condición. Existe traslape entre los modos. La naturaleza de este traslape varía dependiendo del idioma. Es por eso que la palabra "principal" se usa en la explicación de arriba.

22.1.4 Un vistazo de las partes del presente activo y medio/pasivo subjuntivo

λύω

λυ	ω	-
Tema presente	**Vocal conectiva alargada**	**Terminación activa (1s)**

Raíz: **λυ***

22.1.5 Terminaciones del presente activo y medio/pasivo subjuntivo

Una característica principal de las terminaciones del subjuntivo es que la vocal conectiva se alarga. Aparte de este alargamiento, las terminaciones son idénticas a las del presente indicativo.

P/N	Presente	
	Indicativo	**Subjuntivo**
Activa		
1s	ω	**ω**
2s	εις	**ῃς**
3s	ει	**ῃ**
1p	ομεν	**ωμεν**
2p	ετε	**ητε**
3p	ουσι(ν)	**ωσι(ν)**
Media/Pasiva		
1s	ομαι	**ωμαι**
2s	ῃ	**ῃ**
3s	εται	**ηται**
1p	ομεθα	**ωμεθα**
2p	εσθε	**ησθε**
3p	ονται	**ωνται**

22.1.6 Tema presente

El tema presente se usa para formar el presente activo y medio/pasivo subjuntivo. Repase las secciones 3.3.4 y 4.1.5 para ejemplos.

22.1.7 Palabras claves para identificar el subjuntivo

Reconocer la vocal conectiva alargada le ayudará a identificar el subjuntivo. Otra pista sumamente importante es la presencia de ciertas palabras que expresan propósito, posibilidad, y condicionalidad. Cuando una de las siguientes palabras está, esté atento porque el subjuntivo normalmente le seguirá. Apréndalas bien.

Palabra clave	Traducción
ἵνα	para que, para
ἐάν	si
ἄν	indica contingencia; la traducción dependerá mucho del contexto: a veces se usa las formas de "hubiera", la terminación verbal "ía", o palabras que terminan en "iera" como "cualquiera"
ὅταν	cuando sea
ὅπως	de modo que, con tal de que, para que

Existen otras palabras claves pero las anteriores son las más comunes que ya han aparecido en el vocabulario.

22.1.8 Ejemplos del presente subjuntivo

Ejemplo 1: καὶ οὐ θέλετε ἐλθεῖν πρός με ἵνα ζωὴν **ἔχητε**.
Y ustedes no quieren venir a mí para que **tengan** vida.

Ejemplo 2: **...**ἐὰν **ἔχητε** πίστιν ὡς κόκκον σινάπεως, ἐρεῖτε τῷ ὄρει τούτῳ·
…si ustedes **tienen** fe como una semilla de mostaza, dirán a esta montaña…

Ejemplo 3: …καὶ ὃς ἂν **θέλῃ** ἐν ὑμῖν εἶναι πρῶτος ἔσται πάντων δοῦλος·
…y el que entre ustedes **quiere** ser primero será siervo de todos.

Ejemplo 4: Εἶπεν δὲ αὐτοῖς· ὅταν **προσεύχησθε** λέγετε·
Y les dijo, "Cuando **oran**, dicen…"

Ejemplo 5: Ἐγείρεσθε **ἄγωμεν**·
Levántense, **vámonos**.

Ejemplo 6: Τί **ποιῶμεν** ἵνα **ἐργαζώμεθα** τὰ ἔργα τοῦ θεοῦ;
¿Qué **haremos** para que **hagamos** las obras de Dios?

22.2 VERBOS OMEGA: PRESENTE SUBJUNTIVO (TODAS LAS VOCES)

Memorice las formas de λύω.

22.2.1 Formas del presente activo subjuntivo de λύω

Pronombre	Tema	Term.	Forma	Traducción	Presente ind.
Singular					
ἐγώ	λυ-	ω	λύ**ω**	desate/desatara	λύω
σύ		ῃς	λύ**ῃς**	desates/desataras	λύεις
αὐτός, ή, ό		ῃ	λύ**ῃ**	desate/desatara	λύει
Plural					
ἡμεῖς	λυ-	ωμεν	λύ**ωμεν**	desatemos/desatáramos	λύομεν
ὑμεῖς		ητε	λύ**ητε**	Uds. desaten/desataran	λύετε
αὐτοί, αί, ά		ωσι(ν)	λύ**ωσι(ν)**	ellos desaten/desataran	λύουσι(ν)

22.2.2 Formas del presente medio/pasivo subjuntivo de λύω

Pronombre	Tema	Term.	Forma	Traducción pasiva	Presente ind.
Singular					
ἐγώ	λυ-	ωμαι	λύ**ωμαι**	sea/fuera desatado	λύομαι
σύ		ῃ	λύ**ῃ**	seas/fueras desatado	λύῃ
αὐτός, ή, ό		ηται	λύ**ηται**	sea/fuera desatado	λύεται
Plural					
ἡμεῖς	λυ-	ωμεθα	λυ**ώμεθα**	seamos/fuéramos desatados	λυόμεθα
ὑμεῖς		ησθε	λύ**ησθε**	Uds. sean/fueran desatados	λύεσθε
αὐτοί, αί, ά		ωνται	λύ**ωνται**	ellos sean/fueran desatados	λύονται

22.3 VERBOS MI Y CONTRACTO: PRESENTE ACTIVO SUBJUNTIVO

22.3.1 Verbos mi: Presente activo subjuntivo de εἰμί

De todos los verbos mi, solo εἰμί ocurre con regularidad suficiente para justificar que se dan las formas del dicho verbo. Memorice estas formas, las cuales son idénticas a las terminaciones.

Pronombre	**εἰμί**	**Traducción**
	Singular	
ἐγώ	**ὦ**	yo sea, fuera, esté, estuviera
σύ	**ᾖς**	tú seas, fueras, estés, estuvieras
αὐτός, ή, ό	**ᾖ**	él/ella/ello sea, fuera, esté, estuviera
	Plural	
ἡμεῖς	**ὦμεν**	nosotros seamos, fuéramos, estemos, estuviéramos
ὑμεῖς	**ἦτε**	ustedes sean, fueran, estén, estuvieran
αὐτοί, αί, ά	**ὦσιν**	ellos sean, fueran, estén, estuvieran

22.3.2 Verbos contractos de alfa (α) y épsilon (ε): Presente activo subjuntivo

De los verbos contractos, solo los de alfa (α) y épsilon (ε) ocurren con la frecuencia necesaria para justificar su inclusión. No es necesario memorizar estas formas.

Pronombre	**λύω**	**ποιέω**	**ἀγαπάω**
	Singular		
ἐγώ	λύω	ποι**ῶ**	ἀγαπ**ῶ**
σύ	λύῃς	-	-
αὐτός, ή, ό	λύῃ	ποι**ῇ**	ἀγαπ**ᾷ**
	Plural		
ἡμεῖς	λύωμεν	ποι**ῶμεν**	ἀγαπ**ῶμεν**
ὑμεῖς	λύητε	ποι**ῆτε**	ἀγαπ**ᾶτε**
αὐτοί, αί, ά	λύωσι(ν)	ποι**ῶσι(ν)**	ἀγαπ**ῶσι(ν)**

22.4 EJERCICIOS

Lea las siguientes oraciones en voz alta y luego tradúzcalas. Para los primeros 30 ejercicios, analice la palabra **en negrita**.

1. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνῄσκει. Ἐάν τε γὰρ **ζῶμεν**, τῷ κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνῄσκωμεν, τῷ κυρίῳ ἀποθνῄσκομεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνῄσκωμεν, τοῦ κυρίου ἐσμέν. Εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανεν καὶ ἀνέστη καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων (de los que viven) κυριεύσῃ (para que sea Señor = para ser Señor). (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 14:7-9)

2. Μηκέτι οὖν ἀλλήλους **κρίνωμεν**·

3. Ἄρα οὖν τὰ τῆς εἰρήνης **διώκωμεν**, καὶ τὰ τῆς οἰκοδομῆς (de edificación) τῆς εἰς ἀλλήλους. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 14:19)

4. **Παρακαλῶ** δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε πάντες, καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα (divisiones)…

5. Ὅταν γὰρ **λέγῃ** τις, Ἐγὼ μέν εἰμι Παύλου, ἕτερος δέ, Ἐγὼ Ἀπολλώ, οὐχὶ σαρκικοί (carnal) ἐστε; Τίς οὖν ἐστιν Παῦλος, τίς δὲ Ἀπολλώς, ἀλλ' ἢ διάκονοι (ministros) δι' ὧν ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς ὁ κύριος ἔδωκεν; (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 3:4-5)

6. Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ (desea) κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται (oponen) ἀλλήλοις, ἵνα μὴ ἃ ἂν **θέλητε**, ταῦτα ποιῆτε. Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον.

7. Ἄρα οὖν ὡς καιρὸν (oportunidad) ἔχομεν, ἐργαζώμεθα τὸ **ἀγαθὸν** πρὸς πάντας… (ΠΡΟΣ ΓΑΛΑΤΑΣ 6:10)

8. ἐὰν πίστιν λέγῃ τις ἔχειν (tener), ἔργα δὲ μὴ **ἔχῃ**; Μὴ δύναται ἡ πίστις σῶσαι (salvar) αὐτόν;

9. Οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστιν καθ' ἑαυτήν. Ἀλλ' **ἐρεῖ** τις, Σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν (Muestra) μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγώ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. (ΙΑΚΩΒΟΥ 2:17-18)

10. ἐὰν δὲ ἐν τῷ φωτὶ **περιπατῶμεν**, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν (comunión) ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει (limpia) ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

11. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι **ἐγνώκαμεν** αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. (ΙΩΑΝΝΟΥ Α 2:3)

12. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ **πατρὸς** ἐν αὐτῷ.

13. Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία (mensaje) ἣν **ἠκούσατε** ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους· οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν, καὶ ἔσφαξεν (asesinó) τὸν ἀδελφὸν αὐτοῦ. (ΙΩΑΝΝΟΥ Α 3:11-12)

14. Τεκνία μου, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ, ἀλλ' ἐν ἔργῳ καὶ ἀληθείᾳ. Καὶ ἐν τούτῳ **γινώσκομεν** ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν, καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν, ὅτι ἐὰν καταγινώσκῃ (condena) ἡμῶν ἡ καρδία, ὅτι μείζων (mayor; de μέγας) ἐστὶν ὁ θεὸς τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα.

15. Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν (creamos) τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ **ἀγαπῶμεν** ἀλλήλους, καθὼς ἔδωκεν ἐντολήν. (ΙΩΑΝΝΟΥ Α 3:23)

16. ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστιν (ha sido perfeccionado) ἐν ἡμῖν. Ἐν τούτῳ **γινώσκομεν** ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν.

17. Ἐν τούτῳ γινώσκομεν ὅτι **ἀγαπῶμεν** τὰ τέκνα τοῦ θεοῦ, ὅταν τὸν θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· (ΙΩΑΝΝΟΥ Α 5:2-3)

18. Καὶ αὕτη ἐστὶν ἡ ἀγάπη, ἵνα **περιπατῶμεν** κατὰ τὰς ἐντολὰς αὐτοῦ. Αὕτη ἐστιν ἡ ἐντολή, καθὼς ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἐν αὐτῇ περιπατῆτε.

19. Καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω (venga) ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ **ᾖ** ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω (vuelva). (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 10:13)

20. καὶ ἐκείνοις εἶπεν, Ὑπάγετε (Vayan) καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα (viña), καὶ ὃ ἐὰν ᾖ δίκαιον **δώσω** ὑμῖν. Οἱ δὲ ἀπῆλθον.

21. Οὐχ οὕτως δέ ἔσται ἐν ὑμῖν· ἀλλ' ὃς ἐὰν **θέλῃ** ἐν ὑμῖν μέγας γενέσθαι (ser) ἔσται ὑμῶν διάκονος (siervo)· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 20:26)

22. Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται (llama = llamó) οὓς ἤθελεν αὐτός· καὶ ἀπῆλθον πρὸς αὐτόν. Καὶ ἐποίησεν δώδεκα … ἵνα **ὦσιν** μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς κηρύσσειν (predicar)…

23. …**εἶπεν** ὁ βασιλεὺς τῷ κορασίῳ (a una muchacha), Αἴτησόν (Pide) με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοί· (ΚΑΤΑ ΜΑΡΚΟΝ 6:22)

24. καὶ ὃς ἐὰν **θέλῃ** ὑμῶν γενέσθαι (ser) πρῶτος, ἔσται πάντων δοῦλος.

25. καὶ λέγουσιν αὐτῷ, Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; Καὶ τίς σοι τὴν ἐξουσίαν ταύτην **ἔδωκεν** ἵνα ταῦτα ποιῇς; Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς (contestó *y*) εἶπεν αὐτοῖς, Ἐπερωτήσω ὑμᾶς καὶ ἐγὼ ἕνα λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. Τὸ βάπτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; (ΚΑΤΑ ΜΑΡΚΟΝ 11:28-30)

26. Καὶ εἶπεν αὐτῷ ὁ διάβολος, Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν· ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν **θέλω** δίδωμι αὐτήν.

27. Καὶ καθὼς θέλετε ἵνα **ποιῶσιν** ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε (hagan) αὐτοῖς ὁμοίως (asimismo). (ΚΑΤΑ ΛΟΥΚΑΝ 6:31)

28. Βλέπετε (pongan atención) οὖν πῶς ἀκούετε· ὃς γὰρ ἐὰν ἔχῃ, **δοθήσεται** αὐτῷ· καὶ ὃς ἐὰν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν (tener) ἀρθήσεται ἀπ' αὐτοῦ.

29. Ἐγένετο δὲ πορευομένων αὐτῶν (mientras ellos iban) ἐν τῇ ὁδῷ, εἶπέν τις πρὸς αὐτόν, Ἀκολουθήσω σοι ὅπου (donde) ⌜ ἂν ⌝ **ἀπέρχῃ**, κύριε. (ΚΑΤΑ ΛΟΥΚΑΝ 9:57)

30. Καὶ εἰς ἣν ἂν πόλιν **εἰσέρχησθε**, καὶ δέχωνται ὑμᾶς, ἐσθίετε (coman) τὰ παρατιθέμενα (lo puesto ante) ὑμῖν…

31. Καὶ ἐάν τις ὑμᾶς ἐρωτᾷ, Διὰ τί λύετε; Οὕτως ἐρεῖτε αὐτῷ ὅτι Ὁ κύριος αὐτοῦ χρείαν ἔχει. Ἀπελθόντες (después de salir) δὲ οἱ ἀπεσταλμένοι (los que mandaron) εὗρον καθὼς εἶπεν αὐτοῖς. (ΚΑΤΑ ΛΟΥΚΑΝ 19:31-32)

32. Ἐπηρώτησαν δὲ αὐτόν, … Διδάσκαλε, πότε (cómo) οὖν ταῦτα ἔσται; Καὶ τί τὸ σημεῖον, ὅταν μέλλῃ ταῦτα γίνεσθαι (ser);

33. κἀγὼ διατίθεμαι (daré la autoridad de gobernar) ὑμῖν, καθὼς διέθετό (dio) μοι ὁ πατήρ μου, βασιλείαν, ἵνα ἐσθίητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης (mesa) ⌜ μου ⌝… (ΚΑΤΑ ΛΟΥΚΑΝ 22:29-30)

34. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων· οὗτος ἦλθεν πρὸς ⌜ αὐτὸν ⌝ νυκτός, καὶ εἶπεν αὐτῷ, Ῥαββί, οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν (hacer) ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ.

35. Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν, Οὐ δύναται ἄνθρωπος λαμβάνειν (recibir) οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον (dado) αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ὅτι εἶπον, Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:27-28)

36. Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν (hacer) ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα (haciendo = hace)· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως (asimismo) ποιεῖ.

37. Ὁ γὰρ πατὴρ φιλεῖ (ama) τὸν υἱόν, καὶ πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ· καὶ μείζονα (mayor) τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:20)

38. καὶ οὐ θέλετε ἐλθεῖν (venir) πρός με, ἵνα ζωὴν ἔχητε. Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω· ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ (viene) ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.

39. Εἶπον οὖν πρὸς αὐτόν, Τί ποιῶμεν, ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ θεοῦ; Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Τοῦτό ἐστιν τὸ ἔργον τοῦ θεοῦ, ἵνα πιστεύσητε (ustedes crean) εἰς ὃν ἀπέστειλεν ἐκεῖνος. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:28-29)

40. …καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός (del que mandó) με.

41. …μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς, Ἄγωμεν εἰς τὴν Ἰουδαίαν πάλιν. Λέγουσιν αὐτῷ οἱ μαθηταί, Ῥαββί, νῦν ἐζήτουν σε λιθάσαι (apedrear) οἱ Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:7-8)

42. Ἐὰν δέ τις περιπατῇ ἐν τῇ νυκτί, προσκόπτει (tropieza), ὅτι τὸ φῶς οὐκ ἔστιν ἐν αὐτῷ.

43. Ὑπόδειγμα (ejemplo) γὰρ ἔδωκα ὑμῖν, ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 13:15)

44. Εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά.

45. Ἐντολὴν καινὴν (nuevo) δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους· καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. Λέγει αὐτῷ Σίμων Πέτρος, Κύριε, ποῦ ὑπάγεις; Ἀπεκρίθη αὐτῷ ὁ Ἰησοῦς, Ὅπου ὑπάγω, οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι (seguir)… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 13:34-36)

46. Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε. Καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον (Consolador) δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν (recibir), ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό. Ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται.

47. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει, καὶ ὁ πατήρ μου ἀγαπήσει αὐτόν, καὶ πρὸς αὐτὸν ἐλευσόμεθα… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:23)

48. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς.

49. Νῦν οἴδαμεν ὅτι οἶδας πάντα, καὶ οὐ χρείαν ἔχεις ἵνα τίς σε ἐρωτᾷ· ἐν τούτῳ πιστεύομεν ὅτι ἀπὸ θεοῦ ἐξῆλθες. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Ἄρτι (Ahora) πιστεύετε; Ἰδού, ἔρχεται ὥρα καὶ νῦν ἐλήλυθεν, ἵνα σκορπισθῆτε (ustedes sean esparcidos) ἕκαστος εἰς τὰ ἴδια… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 16:30-32)

50. καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσει αὐτοῖς ζωὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσίν σε τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.

22.5 VOCABULARIO

Verbos

1. **βούλομαι** planeo, deseo 2 Pedro 3:9
   μὴ **βουλόμενός** τινας ἀπολέσθαι, ἀλλὰ πάντας εἰς μετάνοιαν χωρῆσαι.
   no **deseando** *que* ninguno perezca, sino *que* todos procedan al arrepentimiento

2. **διακονέω** sirvo Mateo 20:28
   ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν **διακονηθῆναι**, ἀλλὰ **διακονῆσαι**
   el Hijo del Hombre no vino para **ser servido** sino **servir**

3. **ἐκπορεύομαι** salgo, me voy Juan 15:26
   τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς **ἐκπορεύεται**
   el Espíritu de verdad el cual **sale** del Padre

4. **ἐπιστρέφω** regreso, vuelvo Hechos 3:19
   Μετανοήσατε οὖν καὶ **ἐπιστρέψατε**, εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας
   Por lo tanto, arrepiéntanse y **vuélvanse** para que sean borrados sus pecados

5. **μετανοέω** me arrepiento Ap 2:5
   μετανόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον·
   Arrepiéntete y haz las primeras obras.

6. **ὀφείλω** debo Juan 13:14
   ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας.
   ustedes **deben** lavar los pies unos a otros.

7. **πειράζω** pruebo, tiento 1 Tes 3:5
   μήπως **ἐπείρασεν** ὑμᾶς ὁ **πειράζων**
   para que el que el **tentador** no los **tiente**

Sustantivos

8. **ἡ μαρτυρία**, ας testimonio 1 Juan 5:9
   αὕτη ἐστὶν ἡ **μαρτυρία** τοῦ θεοῦ
   este es el **testimonio** de Dios

9. **ὁ μάρτυς**, μάρτυρος testigo Rom 1:9
   Μάρτυς γάρ μού ἐστιν ὁ θεός
   porque Dios es mi **testigo**

10. **ἡ ὀργή**, ῆς enojo, ira Juan 3:36
    ἡ **ὀργὴ** τοῦ θεοῦ μένει ἐπ' αὐτόν.
    la **ira** de Dios permanece sobre él.

11. **ἡ περιτομή**, ῆς — circuncisión — 1 Co 7:19
    Ἡ **περιτομὴ** οὐδέν ἐστιν, καὶ ἡ ἀκροβυστία οὐδέν ἐστιν
    La **circuncisión** es nada y la incircuncisión es nada

12. **ἡ προσευχή**, ῆς — oración — Mateo 21:13
    Ὁ οἶκός μου οἶκος **προσευχῆς** κληθήσεται·
    Mi casa será llamada una casa de **oración**.

Preposición

13. **ὀπίσω** con el genitivo — opuesto, después de — Mateo 3:11
    ὁ δὲ **ὀπίσω** μου ἐρχόμενος ἰσχυρότερός
    pero el que viene **después de** mí es más poderoso

Adverbio

14. **εὐθέως** — inmediatamente, de inmediato — Mateo 4:20
    Οἱ δὲ **εὐθέως** ἀφέντες τὰ δίκτυα ἠκολούθησαν αὐτῷ.
    Pero inmediatamente dejando las redes, ellos le siguieron a él.

Interjección

15. **καλῶς** — bien — Gál 5:7
    Ἐτρέχετε **καλῶς**· τίς ὑμᾶς ἐνέκοψεν
    Corrían **bien**. ¿Quién les impidió…

23 VERBOS DEL AORISTO SUBJUNTIVO

23.1 GRAMÁTICA

23.1.1 Tiempo aoristo

En el modo subjuntivo, el tiempo aoristo presenta una acción de forma resumida. No hay un elemento temporal implicado por las formas cuando se usan en el modo subjuntivo.

23.1.2 Modo subjuntivo

Repase las secciones 3.2.4 y de 22.1.1 a 22.1.3.

23.1.3 Un vistazo de las partes del aoristo activo subjuntivo

λύσω

λυ	σ	ω	-
Tema aoristo activo	**Señal temporal del aoristo activo subjuntivo**	**Vocal conectiva**	**Terminación Activa (1s)**

Raíz: **λυ***

23.1.4 Aumento

El aumento solo se usa con el tiempo aoristo e imperfecto del modo indicativo.[1] No aparece en las formas del no indicativo (subjuntivo, participio, infinitivo, o imperativo).

23.1.5 La señal temporal aoristo activo subjuntivo

Los verbos del primer aoristo usan sigma (σ) como la señal temporal del aoristo activo y medio. Los verbos del aoristo segundo no usan una señal temporal. En su lugar, el tema aoristo es identificado por el tema aoristo que siempre difiere del tema presente. Sea primer o segundo aoristo, la señal temporal del aoristo pasivo para el modo subjuntivo es theta (θ).

[1] El aumento también está presente en las formas del pluscuamperfecto, las cuales son poco comunes en el Nuevo Testamento.

23.1.6 Terminaciones del aoristo activo, medio, y pasivo subjuntivo

Las terminaciones del aoristo activo y medio son idénticas a las del presente subjuntivo.[2] El aoristo pasivo usa las terminaciones activas. En varias instancias, la señal temporal del aoristo subjuntivo ayuda a diferenciar las formas del presente subjuntivo de las del aoristo. Otras veces, es necesario observar diferencias en el tema presente y aoristo para poder identificar el tiempo, sea presente o aoristo, del subjuntivo.

P/N	Indicativo	Subjuntivo		
	Presente	Presente	Aoristo	
			Primero	Segundo
Activa				
1s	ω	ω	**σω**	**ω**
2s	εις	ῃς	**σῃς**	**ῃς**
3s	ει	ῃ	**σῃ**	**ῃ**
1p	ομεν	ωμεν	**σωμεν**	**ωμεν**
2p	ετε	ητε	**σητε**	**ητε**
3p	ουσι(ν)	ωσι(ν)	**σωσι(ν)**	**ωσι(ν)**
Media				
1s	ομαι	ωμαι	**σωμαι**	**ωμαι**
2s	ῃ	ῃ	**σῃ**	**ῃ**
3s	εται	ηται	**σηται**	**ηται**
1p	ομεθα	ωμεθα	**σωμεθα**	**ωμεθα**
2p	εσθε	ησθε	**σησθε**	**ησθε**
3p	ονται	ωνται	**σωνται**	**ωνται**
Pasiva				
1s	ομαι	ωμαι	**θω**	
2s	ῃ	ῃ	**θῃς**	
3s	εται	ηται	**θῃ**	
1p	ομεθα	ωμεθα	**θωμεν**	
2p	εσθε	ησθε	**θητε**	
3p	ονται	ωνται	**θωσι(ν)**	

23.1.7 Tema aoristo

El tema aoristo activo (Tema A.A.) se usa para formar verbos del aoristo activo y medio (Repase 18.1.8 y 19.1.7). El tema aoristo pasivo (Tema A.P.) se usa para formar verbos del aoristo pasivo subjuntivo (Repasar 0). En este momento, solo es necesario repasar el tema activo.

Para algunos verbos, el tema aoristo activo es idéntico al tema presente. Significa que la forma léxica de estos verbos y, por lo tanto, su significado es fácil de identificar. Estos tipos de verbos no requieren memorización adicional. Ejemplos comunes se dan en el

[2] Las terminaciones "primarias" se usan en vez de las "secundarias" porque el aumento no se usa con las formas del no-indicativo.

siguiente cuadro. Puesto que la terminación de la primera persona singular (1s) del modo indicativo y subjuntivo es idéntica, las de la tercera persona singular (3s) se listan.

Ejemplos donde la memorización de la raíz o del tema aoristo activo es innecesaria

Forma léxica	Raíz	Tema A.A.	Subjuntivo		Traducción
			Aoristo (3s)	Presente (3s)	
λύω	λυ*	λυ-	**λύσῃ**	λύῃ	desate/desatara
ποιέω	ποιε*	ποιε-	**ποιήσῃ**†	ποιῇ	haga/hiciera
πιστεύω	πιστευ*	πιστευ-	**πιστεύσῃ**	πιστεύῃ	crea/creyera
ἀκούω	ἀκου*	ἀκου-	**ἀκούσῃ**	ἀκούῃ	escuche/escuchara
αἰτέω	αἰτε*	αἰτε-	**αἰτήσῃ**†	αἰτῇ	pida/pidiera
† La vocal contracta se alarga antes de la señal temporal del aoristo.					

Para otros verbos, el tema aoristo activo no es idéntico al tema presente pero es idéntico o parecido a la raíz. A estas alturas, usted ya debería saber bien estas raíces. Ejemplos comunes se dan en el siguiente cuadro.

Ejemplos donde la raíz debería memorizarse

Forma léxica	Raíz	Tema A.A.	Subjuntivo		Traducción
			Aoristo (3s)	Presente (3s)	
γίνομαι†	γεν*	γεν-	**γένηται**†	γίνηται†	sea/fuera
ἔρχομαι†	ἐλθ*	ἐλθ-	**ἔλθῃ**	ἔρχηται†	venga/viniera
δίδωμι	δο*	δο-	**δῷ**††	-	dé/diera
ἀπόλλυμι	ἀπολε*	ἀπολε-	**ἀπολέσῃ**	-	destruya/destruyera
λαμβάνω	λαβ*	λαβ-	**λάβῃ**	λαμβάνῃ	tome/tomara
δοκέω	δοκ*	δοκ-	**δόξῃ**†††	δόκῃ	piense/pensara
† Estos verbos son deponentes en el tiempo respectivo. †† Los verbos mi a menudo no usan la señal temporal del aoristo subjuntivo (σ). ††† δοκ + σ + ῃ = δόξῃ. Ver la sección 23.1.8 con respecto a los cambios ortográficos causados por la sigma (σ) interactuando con ciertas consonantes.					

Para un tercer grupo de verbos, el tema aoristo activo no es idéntico al tema presente ni a la raíz. La forma del aoristo activo debería memorizarse. Ejemplos comunes se dan en el cuadro a continuación.

Ejemplos donde las formas del aoristo activo (3s) deberían memorizarse

Forma léxica	Raíz	Tema A.A.	Subjuntivo		Traducción
			Aoristo (3s)	Presente (3s)	
λέγω	λεγ*	εἰπ-	**εἴπῃ**	λέγῃ	diga/dijera
ὁράω	ὁρα*	ἰδ-	**ἴδῃ**	-	vea/viera
ἐσθίω	ἐσθι*	φαγ-	**φάγῃ**	ἐσθίῃ	come/comiera
ἔχω	σεχ*	σχ-	**σχῇ**	ἔχῃ	tenga/tuviera
† Estos verbos son deponentes en su tiempo respectivo.					

23.1.8 Cambios en las raíces que terminan en una labial, gutural, o dental

Al igual que en el tiempo futuro y aoristo indicativo, la señal temporal del aoristo activo subjuntivo, sigma (σ), cambia en una nueva letra cuando interactúa con la última letra de temas que terminan en una labial, gutural, o dental. Los cambios se dan en el siguiente cuadro.

Clase de letra	Letra cambiada			Señal temporal	Resultado
Labial	π (pi)	β (beta)	φ (fi)	+ σ	= ψ
Gutural	κ (kappa)	γ (gamma)	χ (ji)	+ σ	= ξ
Dental	τ (tau)	δ (delta)	θ (theta)	+ σ	= σ†
† Las dentales tau (τ), delta (δ), y theta (θ) normalmente se omiten antes de sigma (σ).					

23.1.9 Palabras claves para identificar el subjuntivo

Como se mencionó anteriormente, el modo subjuntivo (tiempo presente o aoristo) casi siempre acompañan ciertas palabras clave. El siguiente cuadro lista esas palabras e incluye una nueva: οὐ μή. Con frecuencia el aoristo subjuntivo viene después de este par de palabras, las cuales representan la forma más fuerte para negar algo en griego.

Palabra clave	Traducción
ἵνα	para que, para
ἐάν	si
ἄν	indica contingencia; la traducción dependerá mucho del contexto: a veces se usa formas de "hubiera", la terminación verbal "ía", o palabras que terminan en "iera" como "cualquiera"
ὅταν	cuando sea
οὐ μή	nunca jamás (la negación más fuerte en griego; a menudo se traduce con el tiempo futuro)

23.1.10 Ejemplos del aoristo subjuntivo

Ejemplo 1: Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα **ἴδωμεν** καὶ **πιστεύσωμέν** σοι;
Entonces, ¿qué señal das para que **veamos** y te **creamos**?

Ejemplo 2: Δι’ ἐμοῦ ἐάν τις **εἰσέλθῃ** σωθήσεται καὶ εἰσελεύσεται
Si alguno **entra** por mí, será salvo y entrará…

Ejemplo 3: Αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν **λαλήσῃ** πρὸς ὑμᾶς.
Ustedes lo escucharán según todo lo que les **diga**.

Ejemplo 4: Καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι, ἵνα ὅταν **γένηται πιστεύσητε**.
Y ahora les he hablado antes de que suceda para que cuando **suceda crean**.

Ejemplo 5: ...ἐὰν μὴ **περισσεύσῃ** ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων καὶ Φαρισαίων, **οὐ μὴ εἰσέλθητε** εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.
…si la justicia de ustedes no **excede** la de los escribas y fariseos, nunca jamás **entrarán** al reino de los cielos.

Ejemplo 6: ...καὶ τὸν ἐρχόμενον πρὸς ἐμὲ **οὐ μὴ ἐκβάλω** ἔξω...
…y al que entra a mí **nunca jamás echaré** fuera.

Ejemplo 7: Δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ **σχῶμεν** τὴν κληρονομίαν αὐτοῦ...
Vengan, matemos a él y **tengamos** su herencia…

Este ejemplo muestra que el subjuntivo puede funcionar como una exhortación (“tengamos”).

Ejemplo 8: …Ἰωσὴφ ... **μὴ φοβηθῇς** παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου…
…José ... **no tengas miedo de** tomar a María como esposa …

Este ejemplo muestra que el subjuntivo se puede usar como una prohibición.

23.2 VERBOS OMEGA: PRIMER AORISTO SUBJUNTIVO (TODAS LAS VOCES)

Memorice las formas de λύω.

23.2.1 Formas del aoristo activo subjuntivo de λύω comparado con el futuro indicativo

Pronombre	Tema	Term.	Forma	Traducción	Fut. Ind.
Singular					
ἐγώ	λυ-	σω	λύ**σω**	desate/desatara	λύσω
σύ		σῃς	λύ**σῃς**	desates/desataras	λύσεις
αὐτός, ή, ό		σῃ	λύ**σῃ**	desate/desatara	λύσει
Plural					
ἡμεῖς	λυ-	σωμεν	λύ**σωμεν**	desatemos/desatáramos	λύσομεν
ὑμεῖς		σητε	λύ**σητε**	ustedes desaten/desataran	λύσετε
αὐτοί, αί, ά		σωσι(ν)	λύ**σωσι(ν)**	ellos desaten/desataran	λύσουσι(ν)

23.2.2 Formas del aoristo medio subjuntivo de λύω comparado con el futuro indicativo

Pronombre	Tema	Termin.	Forma	Traducción	Fut. Ind.
Singular					
ἐγώ	λυ-	σωμαι	λύ**σωμαι**	desate/desatara	λύσομαι
σύ		σῃ	λύ**σῃ**	desates/desataras	λύσῃ
αὐτός, ή, ό		σηται	λύ**σηται**	desate/desatara	λύσεται
Plural					
ἡμεῖς	λυ-	σωμεθα	λυ**σώμεθα**	desatemos/desatáramos	λυσόμεθα
ὑμεῖς		σησθε	λύ**σησθε**	ustedes desaten/desataran	λύσεσθε
αὐτοί, αί, ά		σωνται	λύ**σωνται**	ellos desaten/desataran	λύσονται

23.2.3 Formas del aoristo pasivo subjuntivo de λύω comparado con el futuro indicativo

Pronombre	Tema	Termin.	Forma	Traducción	Fut. Ind.
Singular					
ἐγώ	λυ-	θω	λυ**θῶ**	sea/fuera desatado	λυθήσομαι
σύ		θῃς	λυ**θῇς**	seas/fueras desatado	λυθήσῃ
αὐτός, ή, ό		θῃ	λυ**θῇ**	sea/fuera desatado	λυθήσεται
Plural					
ἡμεῖς	λυ-	θωμεν	λυ**θῶμεν**	seamos/fuéramos desatados	λυθησόμεθα
ὑμεῖς		θητε	λυ**θῆτε**	ustedes sean/fueran desatados	λυθήσεσθε
αὐτοί, αί, ά		θωσι(ν)	λυ**θῶσι(ν)**	ellos sean/fueran desatados	λυθήσονται

23.3 VERBOS OMEGA: SEGUNDO AORISTO ACTIVO Y MEDIO SUBJUNTIVO[3]

La memorización de estas formas es innecesaria. Reconocer las diferencias entre el tema del aoristo y el presente es la clave para identificar el tiempo de estas formas.

23.3.1 Formas del aoristo activo subjuntivo de ἔρχομαι

Si los verbos relacionados están incluidos en el conteo, ἔρχομαι es el verbo más común del segundo aoristo activo subjuntivo. A pesar de ser deponente en el tiempo presente y futuro, ἔρχομαι no es deponente en el aoristo indicativo o subjuntivo.

Pronombre	Tema	Term.	Forma	Traducción	Aor. ind.
Singular					
ἐγώ	ἐλθ-	ω	ἔλθ**ω**	venga/viniera	ἦλθον
σύ		ῃς	ἔλθ**ῃς**	vengas/vinieras	ἦλθες
αὐτός, ή, ό		ῃ	ἔλθ**ῃ**	venga/viniera	ἦλθεν
Plural					
ἡμεῖς	ἐλθ-	ωμεν	ἔλθ**ωμεν**	vengamos/viniéramos	ἤλθομεν
ὑμεῖς		ητε	ἔλθ**ητε**	ustedes vengan/vinieran	ἤλθατε
αὐτοί, αί, ά		ωσι(ν)	ἔλθ**ωσι(ν)**	ellos vengan/vinieran	ἦλθον

23.3.2 Formas del aoristo medio subjuntivo de γίνομαι

El verbo γίνομαι es el más común de los del segundo aoristo medio subjuntivo. Es deponente en el aoristo indicativo y subjuntivo.

Pronombre	Tema	Term.	Forma	Traducción	Aor. ind.
Singular					
ἐγώ	γεν-	ωμαι	γέν**ωμαι**	sea/fuera	ἐγενόμην
σύ		ῃ	γέν**ῃ**	seas/fueras	ἐγένου
αὐτός, ή, ό		ηται	γέν**ηται**	sea/fuera	ἐγένετο
Plural					
ἡμεῖς	γεν-	ωμεθα	γεν**ώμεθα**	seamos/fuéramos	ἐγενόμεθα
ὑμεῖς		ησθε	γέν**ησθε**	ustedes sean/fueran	ἐγένεσθε
αὐτοί, αί, ά		ωνται	γέν**ωνται**	ellos sean/fueran	ἐγένοντο

[3] Las formas del segundo aoristo pasivo no están incluidas porque no son muy comunes.

23.4 VERBOS MI Y CONTRACTOS: AORISTO ACTIVO SUBJUNTIVO

No es necesario memorizar estas formas.

23.4.1 Verbos mi: Formas del aoristo activo subjuntivo

Aparte de εἰμί, los verbos mi del presente subjuntivo son poco comunes en el Nuevo Testamento. Por eso sus formas no se dieron en el capítulo anterior. Los verbos mi del aoristo subjuntivo, sin embargo, son más comunes y sus formas se listan abajo.[4] Al igual que los otros tiempos, la ausencia de la duplicación con iota revela que la forma no es tiempo presente ni imperfecto. Con los verbos mi del subjuntivo, las únicas opciones son el presente y aoristo. Aunque la vocal alargada es una pista útil para el subjuntivo, las palabras clave del subjuntivo son mucho más útiles.

Pronombre	**Forma léxica (Usa el tema presente)**				
	λύω	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
	Raíz verbal				
	λυ*	δο*	στα*	θε*	ἀπο+ἐ*
Singular					
ἐγώ	λύσω	δῶ	στήσω	θῶ	-
σύ	λύσῃς	δῷς	στήσῃς	θῇς	-
αὐτός, ή, ό	λύσῃ	δῷ; δώσῃ	στήσῃ; στῇ	θῇ	ἀφῇ
Plural					
ἡμεῖς	λύσωμεν	δῶμεν; δώσωμεν	στήσωμεν	θῶμεν	ἀφῶμεν
ὑμεῖς	λύσητε	δῶτε	στῆτε	-	ἀφῆτε
αὐτοί, αί, ά	λύσωσι(ν)	δῶσι(ν)	στῶσι(ν)	-	-

23.4.2 Verbos contractos: Formas del aoristo activo subjuntivo

La diferencia principal entre estas formas y las de los verbos omega no-contracta es que, al agregar la señal temporal, la vocal contracta de alfa (α), épsilon (ε), y ómicron (ο) se alarga. Puesto que este cambio es simple, basta mostrar solo las formas activas.

Pronombre	**λύω**	**ποιέω**	**ἀγαπάω**	**πληρόω**
Singular				
ἐγώ	λύσω	ποιή**σω**	ἀγαπή**σω**	πληρώ**σω**
σύ	λύσῃς	ποιή**σῃς**	ἀγαπή**σῃς**	-
αὐτός, ή, ό	λύσῃ	ποιή**σῃ**	ἀγαπή**σῃ**	πληρώ**σῃ**
Plural				
ἡμεῖς	λύσωμεν	ποιή**σωμεν**	ἀγαπή**σωμεν**	πληρώ**σωμεν**
ὑμεῖς	λύσητε	ποιή**σητε**	ἀγαπή**σητε**	πληρώ**σητε**
αὐτοί, αί, ά	λύσωσι(ν)	ποιή**σωσι(ν)**	ἀγαπή**σωσι(ν)**	πληρώ**σωσι(ν)**

[4] Formas del aoristo subjuntivo de εἰμί no existen.

23.5 EJERCICIOS

Lea las siguientes oraciones en voz alta y luego tradúzcalas. Con los primeros 30 ejercicios, analicen las palabras **en negritas**.

1. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα **πληρωθῇ** τὸ ῥηθὲν (lo dicho) ὑπὸ τοῦ κυρίου διὰ τοῦ προφήτου… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 1:22)

2. Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ (di) ἵνα οἱ λίθοι οὗτοι ἄρτοι **γένωνται**.

3. …καὶ λέγει αὐτῷ, Ταῦτα πάντα **σοι** δώσω, ἐὰν πεσὼν (postrándote) προσκυνήσῃς μοι. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 4:9)

4. Ὃς ἐὰν οὖν **λύσῃ** μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων (más pequeños), καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους, ἐλάχιστος (pequeño) κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον (más que) τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

5. Ἀμὴν λέγω σοι, οὐ μὴ **ἐξέλθῃς** ἐκεῖθεν (de allí), ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην (centavo). (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:26)

6. Ἐὰν γὰρ **ἀφῆτε** τοῖς ἀνθρώποις τὰ παραπτώματα (transgresiones) αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα (transgresiones) αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα (transgresiones) ὑμῶν.

7. Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε (huyan) εἰς τὴν ἄλλην· ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε (terminarán) τὰς **πόλεις** τοῦ Ἰσραήλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 10:23)

8. Οὐκ ἔστιν μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν **κύριον** αὐτοῦ. Ἀρκετὸν (basta) τῷ μαθητῇ ἵνα γένηται ὡς ὁ διδάσκαλος αὐτοῦ, καὶ ὁ δοῦλος ὡς ὁ κύριος αὐτοῦ.

9. Καὶ ὃς ἐὰν **εἴπῃ** λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ νῦν αἰῶνι οὔτε ἐν τῷ μέλλοντι (la que viene). (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 12:32)

10. Τίς ἐστιν ἡ μήτηρ μου; Καὶ **τίνες** εἰσὶν οἱ ἀδελφοί μου; Καὶ ἐκτείνας (al extender) τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητὰς αὐτοῦ εἶπεν, Ἰδού, ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου. Ὅστις γὰρ ἂν ποιήσῃ τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς, αὐτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν.

11. Καὶ ὃς ἐὰν **δέξηται** παιδίον τοιοῦτον ἓν ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 18:5)

12. Οὕτως οὐκ ἔστιν θέλημα ἔμπροσθεν τοῦ **πατρὸς** ὑμῶν τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν (los más pequeños) τούτων.

13. Οὕτως καὶ ὁ πατήρ μου ὁ ἐπουράνιος (celestial) ποιήσει ὑμῖν, ἐὰν μὴ ἀφῆτε ἕκαστος τῷ **ἀδελφῷ** αὐτοῦ ἀπὸ τῶν καρδιῶν ὑμῶν τὰ παραπτώματα (transgresiones) αὐτῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 18:35)

14. Τότε **προσηνέχθη** αὐτῷ παιδία, ἵνα τὰς χεῖρας ἐπιθῇ αὐτοῖς, καὶ προσεύξηται· οἱ δὲ μαθηταὶ ἐπετίμησαν (regañó) αὐτοῖς.

15. Καὶ … ὁ Ἰησοῦς **ἐφώνησεν** αὐτούς, καὶ εἶπεν, Τί θέλετε ποιήσω ὑμῖν; Λέγουσιν αὐτῷ, Κύριε, ἵνα ἀνοιχθῶσιν ἡμῶν οἱ ὀφθαλμοί. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 20:32-33)

16. ὑμεῖς δὲ μὴ **κληθῆτε** Ῥαββί· εἷς γάρ ἐστιν ὑμῶν ὁ καθηγητής (maestro), ὁ Χριστός· πάντες δὲ ὑμεῖς ἀδελφοί ἐστε. Καὶ πατέρα μὴ καλέσητε ὑμῶν ἐπὶ τῆς γῆς· εἷς γάρ ἐστιν ὁ πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς.

17. Ὅταν δὲ **ἔλθῃ** ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσεται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη, καὶ ἀφοριεῖ (él separará) αὐτοὺς ἀπ' ἀλλήλων… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 25:31-32)

18. Λέγω δὲ ὑμῖν ὅτι οὐ μὴ **πίω** ἀπ' ἄρτι ἐκ τούτου τοῦ γεννήματος (producto) τῆς ἀμπέλου (vid), ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ πίνω μεθ' ὑμῶν καινὸν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου.

19. ὃς δ' ἂν **βλασφημήσῃ** εἰς τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἔχει ἄφεσιν (perdón) εἰς τὸν αἰῶνα, ἀλλ' ἔνοχός (culpable) ἐστιν αἰωνίου κρίσεως. (ΚΑΤΑ ΜΑΡΚΟΝ 3:29)

20. Οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδόν, ὅπου σπείρεται ὁ λόγος, καὶ ὅταν **ἀκούσωσιν**, εὐθέως ἔρχεται ὁ Σατανᾶς καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον (sembrado) ἐν ταῖς καρδίαις αὐτῶν.

21. Ἀμὴν λέγω ὑμῖν, ὃς ἐὰν μὴ **δέξηται** τὴν βασιλείαν τοῦ θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 10:15)

22. Ἐὰν **εἴπωμεν**, Ἐξ οὐρανοῦ, ἐρεῖ, Διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; Ἀλλ' εἴπωμεν, Ἐξ ἀνθρώπων, ἐφοβοῦντο τὸν λαόν· ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην, ὅτι ὄντως (en verdad) προφήτης ἦν.

23. Διδάσκαλε, Μωσῆς **ἔγραψεν** ἡμῖν, ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ, καὶ καταλίπῃ (deja) γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἐξαναστήσῃ (levanta) σπέρμα τῷ ἀδελφῷ αὐτοῦ· (ΚΑΤΑ ΜΑΡΚΟΝ 12:19)

24. Αὐτὸς γὰρ Δαυὶδ εἶπεν ἐν **πνεύματι** ἁγίῳ, Λέγει ὁ κύριος τῷ κυρίῳ μου, Κάθου (Siéntate) ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον (*como* estrado) τῶν ποδῶν σου.

25. Ἀμὴν ⌜ λέγω ⌝ ὑμῖν, ὅπου ἐὰν **κηρυχθῇ** τὸ εὐαγγέλιον τοῦτο εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον (memorial) αὐτῆς. Καὶ ὁ Ἰούδας ὁ Ἰσκαριώτης,

εἷς τῶν δώδεκα, ἀπῆλθεν πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παραδῷ αὐτὸν αὐτοῖς. (ΚΑΤΑ ΜΑΡΚΟΝ 14:9-10)

26. Καθ' ἡμέραν **ἤμην** πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων (enseñando), καὶ οὐκ ἐκρατήσατέ με· ἀλλ' ἵνα πληρωθῶσιν αἱ γραφαί.

27. Ὁ δὲ Πιλάτος ἀπεκρίθη αὐτοῖς, λέγων (diciendo), Θέλετε ἀπολύσω ὑμῖν τὸν **βασιλέα** τῶν Ἰουδαίων; (ΚΑΤΑ ΜΑΡΚΟΝ 15:9)

28. Ὁ Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω (descienda) νῦν ἀπὸ τοῦ σταυροῦ (cruz), ἵνα **ἴδωμεν** καὶ ⌜ πιστεύσωμεν αὐτῷ. ⌝

29. Καὶ εἶπεν αὐτῷ ὁ διάβολος, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ (di) τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος. Καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτόν, λέγων (diciendo), **Γέγραπται** ὅτι Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ⌜ ἄνθρωπος, ⌝ ἀλλ' ἐπὶ παντὶ ῥήματι θεοῦ. (ΚΑΤΑ ΛΟΥΚΑΝ 4:3-4)

30. Καὶ εἶπεν αὐτῷ ὁ διάβολος, Σοὶ **δώσω** τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν· ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν. Σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιον ἐμοῦ, ἔσται σοῦ πᾶσα.

31. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι… (ΚΑΤΑ ΛΟΥΚΑΝ 6:22)

32. Λέγω δὲ ὑμῖν ἀληθῶς (de verdad), εἰσίν τινες τῶν ὧδε ἑστώτων (de los que están presentes), οἳ οὐ μὴ γεύσωνται (de ninguna manera probarán) θανάτου, ἕως ἂν ἴδωσιν τὴν βασιλείαν τοῦ θεοῦ.

33. Ἐὰν δὲ ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου, ἐπιτίμησον (regaña) αὐτῷ· καὶ ἐὰν μετανοήσῃ, ἄφες (perdona) αὐτῷ. (ΚΑΤΑ ΛΟΥΚΑΝ 17:3)

34. Ὁ δὲ εἶπεν, Βλέπετε (Miren) μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες (diciendo) ὅτι Ἐγώ εἰμι· καί, Ὁ καιρὸς ἤγγικεν, μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν.

35. Εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ (di) ἡμῖν. Εἶπεν δὲ αὐτοῖς, Ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· ἐὰν δὲ καὶ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτέ μοι… (ΚΑΤΑ ΛΟΥΚΑΝ 22:67-68)

36. Ἐγένετο ἄνθρωπος ἀπεσταλμένος (enviado) παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός.

37. Καὶ ἠρώτησαν αὐτόν, Τί οὖν; Ἠλίας εἶ σύ; Καὶ λέγει, Οὐκ εἰμί. Ὁ προφήτης εἶ σύ; Καὶ ἀπεκρίθη, Οὔ. Εἶπον οὖν αὐτῷ, Τίς εἶ; Ἵνα ἀπόκρισιν (respuesta) δῶμεν τοῖς πέμψασιν (a los que enviaron) ἡμᾶς. Τί λέγεις περὶ σεαυτοῦ; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:21-22)

38. Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν γινώσκειν (porque saber con respecto a él = porque sabía) πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀνθρώπῳ.

39. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν (de nuevo o de arriba), οὐ δύναται ἰδεῖν (ver) τὴν βασιλείαν τοῦ θεοῦ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:3)

40. Ἀπεκρίθη Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται εἰσελθεῖν (entrar) εἰς τὴν βασιλείαν τοῦ θεοῦ.

41. Οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ (unigénito) ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων (el que cree) εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:16)

42. Οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ὁ πιστεύων (El que cree) εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων (El que … cree) ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς (unigénito) υἱοῦ τοῦ θεοῦ.

43. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ, Πᾶς ὁ πίνων (el que debe) ἐκ τοῦ ὕδατος τούτου, διψήσει (tendrá sed) πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ (nunca jamás tendrá sed) εἰς τὸν αἰῶνα· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:13-14)

44. Εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν, Ἐὰν μὴ σημεῖα καὶ τέρατα (maravillas) ἴδητε, οὐ μὴ πιστεύσητε.

45. Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:34)

46. καὶ οὐ θέλετε ἐλθεῖν (venir) πρός με, ἵνα ζωὴν ἔχητε. Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω· ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε.

47. Εἶπον οὖν αὐτῷ, Τί οὖν ποιεῖς σὺ σημεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; Τί ἐργάζῃ; Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον (escrito), Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς φαγεῖν (comer). Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:30-32)

48. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων (el que cree) εἰς ἐμέ, ἔχει ζωὴν αἰώνιον. Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. Οἱ πατέρες ὑμῶν ἔφαγον τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ ἀπέθανον. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων (que desciende), ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ.

49. ὑμεῖς ἐκ τοῦ κόσμου τούτου ἐστέ, ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου. Εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. Ἔλεγον οὖν αὐτῷ, Σὺ τίς εἶ; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:23-25)

50. Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας (a los … que habían creído) αὐτῷ Ἰουδαίους, Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς (en verdad) μαθηταί μου ἐστέ·

51. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι, Νῦν ἐγνώκαμεν ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται, καὶ σὺ λέγεις, Ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσηται (de ninguna manera probará) θανάτου εἰς τὸν αἰῶνα. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:51-52)

52. Ἀπεκρίθη Ἰησοῦς, Ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ πατήρ μου ὁ δοξάζων (el que … glorifica) με, ὃν ὑμεῖς λέγετε ὅτι θεὸς ἡμῶν ἐστιν, καὶ οὐκ ἐγνώκατε αὐτόν· ἐγὼ δὲ οἶδα αὐτόν, καὶ ἐὰν εἴπω ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν, ψεύστης (mentiroso)· ἀλλ' οἶδα αὐτόν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ.

53. Καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες (diciendo), Ῥαββί, τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς (padres) αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ; Ἀπεκρίθη Ἰησοῦς, Οὔτε οὗτος ἥμαρτεν οὔτε οἱ γονεῖς (padres) αὐτοῦ· ἀλλ' ἵνα φανερωθῇ τὰ ἔργα τοῦ θεοῦ ἐν αὐτῷ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 9:2-3)

54. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν (pasto) εὑρήσει.

55. Διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. Ἐξουσίαν ἔχω θεῖναι (poner) αὐτήν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν (tomar) αὐτήν. Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 10:17-18)

56. Ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεόν, δώσει σοι ὁ θεός. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Ἀναστήσεται ὁ ἀδελφός σου. Λέγει αὐτῷ Μάρθα, Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Εἶπεν αὐτῇ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων (el que cree) εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ ζῶν (el que vive) καὶ πιστεύων (cree) εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο;

57. Συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον (el concilio), καὶ ἔλεγον, Τί ποιοῦμεν; Ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ. Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι (romanos) καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:47-48)

58. Ἔγνω οὖν ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ ἐστιν· καὶ ἦλθον οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα καὶ τὸν Λάζαρον ἴδωσιν, ὃν ἤγειρεν ἐκ νεκρῶν.

59. ὁ λόγος ὃν ἐλάλησα, ἐκεῖνος κρινεῖ αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Ὅτι ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα· ἀλλ' ὁ πέμψας (el que mandó) με πατήρ, αὐτός μοι ἐντολὴν ἔδωκεν, τί εἴπω καὶ τί λαλήσω. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 12:48-49)

60. Καὶ ἐὰν πορευθῶ ⌜ ἑτοιμάσω ⌝ ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν· ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε. Καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Λέγει αὐτῷ Θωμᾶς (Tomás), Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι (saber);

61. Καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι (antes de que suceda)· ἵνα, ὅταν γένηται, πιστεύσητε. Οὐκέτι πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται γὰρ ὁ τοῦ κόσμου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν· ἀλλ' ἵνα γνῷ ὁ κόσμος ὅτι ἀγαπῶ τὸν πατέρα, καὶ καθὼς ἐνετείλατό (mandó) μοι ὁ πατήρ, οὕτως ποιῶ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:29-31)

62. Ἐὰν μείνητε ἐν ἐμοί, καὶ τὰ ῥήματά μου ἐν ὑμῖν μείνῃ, ὃ ἐὰν θέλητε αἰτήσεσθε (pidan), καὶ γενήσεται ὑμῖν. Ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε· καὶ γενήσεσθε ἐμοὶ μαθηταί. Καθὼς ἠγάπησέν με ὁ πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε (Permanezcan) ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς.

63. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρεν (alzó) τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ εἶπεν, Πάτερ, ἐλήλυθεν ἡ ὥρα· δόξασόν (Glorifica) σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε· καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσει αὐτοῖς ζωὴν αἰώνιον. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 17:1-2)

64. Ὅτε ἤμην μετ' αὐτῶν ἐν τῷ κόσμῳ, ἐγὼ ἐτήρουν αὐτοὺς ἐν τῷ ὀνόματί σου· οὓς δέδωκάς μοι, ἐφύλαξα (he guardado), καὶ οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ υἱὸς τῆς ἀπωλείας (destrucción), ἵνα ἡ γραφὴ πληρωθῇ.

65. Ἐγὼ δέδωκα αὐτοῖς τὸν λόγον σου, καὶ ὁ κόσμος ἐμίσησεν αὐτούς, ὅτι οὐκ εἰσὶν ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου. Οὐκ ἐρωτῶ ἵνα ἄρῃς αὐτοὺς ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ. Ἐκ τοῦ κόσμου οὐκ εἰσίν, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 17:14-16)

66. Ἐξῆλθεν οὖν πάλιν ἔξω ὁ Πιλάτος, καὶ λέγει αὐτοῖς, Ἴδε, ἄγω ὑμῖν αὐτὸν ἔξω, ἵνα γνῶτε ὅτι ἐν αὐτῷ οὐδεμίαν αἰτίαν (delito) εὑρίσκω.

67. Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν. Ὁ μακαρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομήν, ἢ καὶ ἐπὶ τὴν ἀκροβυστίαν (incircuncisión); Λέγομεν γὰρ ὅτι Ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην. Πῶς οὖν ἐλογίσθη; (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 4:8-10)

68. Ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει, Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν; - τοῦτ' ἔστιν Χριστὸν καταγαγεῖν (bajar) - ἤ, Τίς καταβήσεται εἰς τὴν ἄβυσσον (abismo);

69. Ἀλλὰ τί λέγει; Ἐγγύς (cerca) σου τὸ ῥῆμά ἐστιν, ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου· τοῦτ' ἔστιν τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν· ὅτι ἐὰν ὁμολογήσῃς (confiesas) ἐν τῷ στόματί σου κύριον Ἰησοῦν, καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται (se confiesa) εἰς σωτηρίαν. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 10:8-10)

70. Καὶ γὰρ τὸ σῶμα οὐκ ἔστιν ἓν μέλος ἀλλὰ πολλά. Ἐὰν εἴπῃ ὁ πούς, Ὅτι οὐκ εἰμὶ χείρ, οὐκ εἰμὶ ἐκ τοῦ σώματος· οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; Καὶ ἐὰν εἴπῃ τὸ οὖς, Ὅτι

οὐκ εἰμὶ ὀφθαλμός, οὐκ εἰμὶ ἐκ τοῦ σώματος· οὐ παρὰ τοῦτο οὐκ ἔστιν ἐκ τοῦ σώματος; Εἰ ὅλον τὸ σῶμα ὀφθαλμός, ποῦ (dónde) ἡ ἀκοή (oír);

71. οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου· διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ. (ΠΡΟΣ ΓΑΛΑΤΑΣ 2:16)

72. Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον, ἵνα θεῷ ζήσω. Χριστῷ συνεσταύρωμαι (he sido crucificado)· ζῶ δέ, οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός· ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ τῇ τοῦ υἱοῦ τοῦ θεοῦ…

73. Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν (comunión) ἔχομεν μετ' αὐτοῦ, καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα (mentimos), καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν· ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν (comunión) ἔχομεν μετ' ἀλλήλων… (ΙΩΑΝΝΟΥ Α 1:6-7)

74. Ἐὰν εἴπωμεν ὅτι οὐχ ἡμαρτήκαμεν, ψεύστην (mentiroso) ποιοῦμεν αὐτόν, καὶ ὁ λόγος αὐτοῦ οὐκ ἔστιν ἐν ἡμῖν. Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε. Καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον (abogado) ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον·

75. Ἴδετε (Miren) ποταπὴν (cuán maravilloso) ἀγάπην δέδωκεν ἡμῖν ὁ πατήρ, ἵνα τέκνα θεοῦ κληθῶμεν. Διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει ὑμᾶς, ὅτι οὐκ ἔγνω αὐτόν. (ΙΩΑΝΝΟΥ Α 3:1)

76. Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἐντολήν.

77. Ἐάν τις εἴπῃ ὅτι Ἀγαπῶ τὸν θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης (mentiroso) ἐστίν· (ΙΩΑΝΝΟΥ Α 4:20)

78. …μέλλει βαλεῖν (echar) ὁ διάβολος ἐξ ὑμῶν εἰς φυλακήν, ἵνα πειρασθῆτε· καὶ ἕξετε θλίψιν ⌜ ἡμερῶν ⌝ δέκα (diez).

79. Καὶ ἔδωκα αὐτῇ χρόνον ἵνα μετανοήσῃ, καὶ οὐ θέλει μετανοῆσαι (arrepentir) ἐκ τῆς πορνείας (fornicación) αὐτῆς. (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 2:21)

80. Ἰδού, ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω (toco)· ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου, καὶ ἀνοίξῃ τὴν θύραν, καὶ εἰσελεύσομαι πρὸς αὐτόν, καὶ δειπνήσω (cenaré) μετ' αὐτοῦ, καὶ αὐτὸς μετ' ἐμοῦ.

23.6 VOCABULARIO

Verbos

1. **ἀναγινώσκω** (ἀνα + γνω*) leo 2 Co 3:2
   γινωσκομένη καὶ **ἀναγινωσκομένη** ὑπὸ πάντων ἀνθρώπων·
   conocido y **leído** por todos hombres

2. **ἀρνέομαι** niego, rechazo 2 Ti 2:12
   εἰ **ἀρνούμεθα**, κἀκεῖνος **ἀρνήσεται** ἡμᾶς·
   si negamos *a él*, también aquel nos **negará**

3. **ἔξεστι** es lícito, correcto, permisible 1 Co 6:12
   Πάντα μοι **ἔξεστιν**, ἀλλ' οὐ πάντα συμφέρει·
   Todo me **es lícito** pero no todo me conviene.

4. **ὑποστρέφω** regreso, vuelvo Gal 1:17
   ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν **ὑπέστρεψα** εἰς Δαμασκόν.
   pero salí para Arabia y **volví** a Damasco

5. **ὑποτάσσω** someto, obedezco, estoy sujeto a 1 Co 15:28
   Ὅταν δὲ **ὑποταγῇ** αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ υἱὸς **ὑποταγήσεται** τῷ **ὑποτάξαντι** αὐτῷ τὰ πάντα
   Pero cuando todo **se sujete** a él, entonces también él hijo mismo **será sujeto** al que le **sujetó** todo

Sustantivos

6. **τὸ βιβλίον**, ου libro Ap 1:11
   Ὃ βλέπεις γράψον εἰς **βιβλίον**
   Lo que ves escribe en un **libro**

7. **ἡ διαθήκη**, ης pacto, contrato 2 Co 3:6
   ἱκάνωσεν ἡμᾶς διακόνους καινῆς **διαθήκης**
   Nos capacitó ser ministros del nuevo **pacto**

8. **ἡ διακονία**, ας ministerio Col 4:17
   Βλέπε τὴν **διακονίαν** ἣν παρέλαβες ἐν κυρίῳ
   Vela por el **ministerio** que recibiste en el Señor

Adjetivos

9. **δυνατός, ή, όν** poder Mateo 19:26
   Παρὰ ἀνθρώποις τοῦτο ἀδύνατόν ἐστιν, παρὰ δὲ θεῷ πάντα ⌜ **δυνατά**. ⌝
   Con hombres esto es imposible pero con Dios todo es **posible**.

10. **ἐχθρός, ά, όν** aborrecido; *como sust:* enemigo 1 Co 15:26
    Ἔσχατος **ἐχθρὸς** καταργεῖται ὁ θάνατος.
    El último **enemigo**, la muerte, será destruido.

11. **πέντε** cinco Juan 6:9
Ἔστιν παιδάριον ἓν ὧδε, ὃ ἔχει **πέντε** ἄρτους κριθίνους καὶ δύο ὀψάρια·
Hay un niño aquí, el cual tiene **cinco** panes de cebada y dos pescados pequeños.

12. **πτωχός, ή, όν** pobre Mateo 5:3
Μακάριοι οἱ **πτωχοὶ** τῷ πνεύματι·
Benditos son los **pobres** en espíritu.

13. **τέσσαρες** cuatro Mateo 24:31
ἐκ τῶν **τεσσάρων** ἀνέμων, ἀπ' ἄκρων οὐρανῶν ἕως ἄκρων αὐτῶν.
de los **cuatro** vientos, de un extremo de los cielos hasta el otro

Adverbios

14. **ἐγγύς** cerca Efesios 2:13
οἱ ποτὲ ὄντες μακρὰν **ἐγγὺς** ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ.
lo que una vez estaban lejos que han sido hechos **cercanos** por la sangre de Cristo

15. **ὥσπερ** como Santiago 2:26
Ὥσπερ γὰρ τὸ σῶμα χωρὶς πνεύματος νεκρόν ἐστιν
porque **como** el cuerpo sin espíritu está muerto

24 PARTICIPIO PRESENTE

24.1 GRAMÁTICA

24.1.1 Introducción al participio griego

Los participios griegos combinan la naturaleza de dos partes de la gramática, el verbo y adjetivo, en una sola palabra. Son conocidos como adjetivos verbales.

La naturaleza verbal se refleja en el hecho de que participios cuentan con tiempo, voz, y número (no tienen modo ni persona). También pueden realizar algunas funciones verbales en oraciones y llevar un objeto directo o indirecto.

La naturaleza adjetival se refleja en que participios cuentan con caso, género, y número. También pueden realizar algunas funciones adjetivales en algunas oraciones.

Esta naturaleza dual es el porqué los participios son una de las partes de la gramática más complejas e importantes del griego. Las siguientes secciones discuten cada una de esas áreas.

24.1.2 Tiempo

Los participios cuentan con formas que comunican tiempo. Los tiempos posibles son presente, aoristo, y perfecto.[1] Estos tiempos presentan cómo la acción es descrita y cuándo sucede con respecto al tiempo cronológico del verbo principal.

Tiempo	Cómo se presenta la acción	Cuándo la acción sucede
Presente	En progreso o en curso	Simultáneamente con el verbo principal
Aoristo	De forma resumida	Antes de (o simultáneamente con) el verbo principal
Perfecto	De forma resumida con resultados o efectos en curso	Antes del verbo principal con resultados hasta el tiempo del hablante o escritor

Al igual que los verbos, el asunto del tiempo es complicado. El cuadro anterior da una presentación básica para fines de griego básico. Existen algunas variaciones dependiendo de diversos factores incluyendo las palabras usadas y el contexto más amplio. Si se está enfatizando la naturaleza verbal o adjetival también impactan las características del “cómo” y “cuándo” del tiempo. Será necesario estudiar más sobre el tema.

[1] El participio futuro también existe pero es poco común en el Nuevo Testamento. Sus formas no se presentan aquí.

24.1.3 Voz

Los participios cuentan con distintas formas que comunican la voz (activa, media, pasiva). Con la voz activa, el sujeto del participio realiza la acción del participio. Con la voz pasiva, el sujeto del participio recibe la acción del participio. La voz media muchas veces se traduce como la voz activa.

Es necesario hacer algunos comentarios con respecto al sujeto del participio. Primero, el sujeto del participio puede ser otra palabra en la misma oración o puede estar en una oración cercana. A menudo el sujeto del participio es la persona o cosa genérica al que se refiere el participio (ὁ πιστεύων = el que cree). Por último, el sujeto del participio y el sujeto del verbo central no siempre son el mismo. A menudo lo son, pero muchas veces no lo son. El sujeto del participio también puede ser el objeto directo del verbo central, objeto indirecto del verbo central, o estar en alguna otra relación con el verbo central.

24.1.4 Modo

Los participios no cuentan con modo (indicativo, subjuntivo, imperativo). Tampoco son un modo técnicamente. No obstante, a la hora de analizar un participio, usted debería indicar que es un participio usando la posición que normalmente se dedica al modo ("presente, activo, **participio**, etc.").

24.1.5 Caso

Los participios cuentan con distintas formas que comunican el caso (nominativo, genitivo, dativo, acusativo). El participio llevará el mismo caso que su sujeto. Si el sujeto del participio es la persona genérica al que participio mismo se refiere (uso sustantivo; (ὁ πιστεύων = el que cree), el caso del participio dependerá de su función en la oración.

24.1.6 Género

Los participios cuentan con distintas formas que comunican el género (masculino, femenino, neutro). El participio tendrá el mismo género que su sujeto (o referente). Por ejemplo, si el sujeto del participio es masculino, el participio será masculino.

24.1.7 Número

Los participios cuentas con distintas formas que comunican el número (singular o plural). El participio tendrá el mismo número que su sujeto (o referente). Por ejemplo, si el sujeto del participio es singular, el participio será singular.

24.1.8 Persona

Los participios no cuentan con persona (primera, segunda, tercera).

24.1.9 Resumen de las formas del participio

Los participios cuentan con distintas formas que comunican tiempo, voz, caso, género, y número. Las posibilidades de cada categoría se dan en el siguiente cuadro. El participio tendrá el mismo caso, género, y número que su sujeto.

Tiempo	Voz	Caso	Género	Número
Presente	Activa	Nominativo	Masculino	Singular
Aoristo	Media	Genitivo	Femenino	Plural
Perfecto	Pasiva	Dativo	Neutro	
		Acusativo		

24.1.10 Un vistazo de las partes del presente activo y medio/pasivo

λύων

λυ — **Tema presente**

ων — **Terminación del activo, nominativo, masculino, singular**

Raíz: **λυ***

24.1.11 Terminaciones del presente activo y medio/pasivo

	Caso	Masculino	Femenino	Neutro
Voz activa				
Singular	Nominativo	ων	ουσα	ον
	Genitivo	οντος	ουσης	οντος
	Dativo	οντι	ουσῃ	οντι
	Acusativo	οντα	ουσαν	ον
Plural	Nominativo	οντες	ουσαι	οντα
	Genitivo	οντων	ουσων	οντων
	Dativo	ουσι(ν)	ουσαις	ουσι(ν)
	Acusativo	οντας	ουσας	οντα
Voz media/pasiva				
Singular	Nominativo	ομενος	ομενη	ομενον
	Genitivo	ομενου	ομενης	ομενου
	Dativo	ομενῳ	ομενῃ	ομενῳ
	Acusativo	ομενον	ομενην	ομενον
Plural	Nominativo	ομενοι	ομεναι	ομενα
	Genitivo	ομενων	ομενων	ομενων
	Dativo	ομενοις	ομεναις	ομενοις
	Acusativo	ομενους	ομενας	ομενα

24.1.12 Tema presente

Las terminaciones de arriba se agregan al tema presente. Repase las secciones 3.3.4, 4.1.5, y 14.1.6 sobre el tema.

24.1.13 Introducción a los usos adjetivales y verbales del participio

El participio tiene una naturaleza verbal y adjetival. En un contexto dado, cada naturaleza está presente, aunque una naturaleza normalmente domina la otra. Si la naturaleza verbal domina, el participio funciona como un adverbio (una palabra que modifica un verbo). Si la naturaleza adjetival domina, el participio funcionará como un adjetivo.

La pregunta obvia es: **¿Cómo se sabe si el participio está funcionando como un adjetivo o adverbio?** La respuesta: el contexto. La pista contextual más importante es la presencia del artículo. **Si el artículo acompaña al participio, el uso del participio siempre será adjetival.** Si el artículo está ausente, el participio a menudo es adverbial pero a veces adjetival. En tal caso, otros factores contextuales deberían considerarse para decidir entre los dos.

Ver ejemplos del participio es la mejor forma para aprender sus varios usos. La siguiente sección da ejemplos del uso adjetival. Los capítulos 25 y 26 dan ejemplos del uso adverbial.

24.1.14 Uso adjetival del participio (Ejemplos con el tiempo presente)

El participio adjetival tiene tres usos: sustantivado, atributivo, y predicativo. De esos usos, el participio sustantivado es el más común.

Uso sustantivado (Ejemplos del tiempo presente)

Con este uso, el participio funciona como un sustantivo. El uso sustantivado es obviamente contemplado cuando el participio lleva el artículo y no está modificando otro sustantivo en la oración. Se sabe que el participio no modifica otro sustantivo por el contexto y la falta de concordancia en caso, género, y número con otro sustantivo. Con el uso sustantivado, una traducción adecuada normalmente requiere palabras adicionales como “el que”.

Ejemplo 1: **ὁ πιστεύων** εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον·
El que cree en el Hijo tiene vida eterna.

El participio presente **πιστεύων** es adjetival (no verbal) porque lleva el artículo (**ὁ**). El uso del participio es sustantivado porque no modifica otro sustantivo en la oración. El participio está en el caso nominativo porque es el sujeto del verbo **ἔχει**.

Ejemplo 2: καὶ **τὸν ἐρχόμενον** πρὸς ἐμὲ οὐ μὴ ἐκβάλω ἔξω…
Y **al que viene** a mí nunca jamás echaré fuera …

El participio presente **ἐρχόμενον** es adjetival (no verbal) porque lleva el artículo (**τόν**). El uso del participio es sustantivado porque no modifica otro sustantivo en la oración. El participio está en el caso acusativo porque es el objeto directo del verbo **ἐκβάλλω**.

Ejemplo 3: **τῷ** δὲ **ἐργαζομένῳ** ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν…
Pero **al que trabaja** el pago no se le cuenta como gracia…

El participio presente **ἐργαζομένῳ** es adjetival porque lleva el artículo (**τῷ**). El uso del participio es sustantivado porque no modifica otro sustantivo en la oración. El participio está en el caso dativo porque es el objeto indirecto del verbo **λογίζεται**.

Uso atributivo (Ejemplos del tiempo presente)

Con el uso atributivo, el participio modifica un sustantivo. El uso atributivo es obviamente contemplado cuando el participio lleva el artículo y el participio modifica otro sustantivo en la oración. Se sabe que el participio modifica otro sustantivo por el contexto y la falta de concordancia en caso, género, y número con otro sustantivo. Al igual que el adjetivo, la presencia y posición del artículo ayudan a identificar estos vínculos. El siguiente cuadro presenta una lista reducida de las posibles construcciones. Para la lista completa, ver 12.1.3.

Posición	**Uso atributivo**	**Traducción**
Con artículo		
1ª Posición	ὁ ζῶν πατήρ	el Padre que vive
2ª Posición	ὁ πατὴρ ὁ ζῶν	

Ejemplo 4: καθὼς ἀπέστειλέν με **ὁ ζῶν πατὴρ…**
como **el Padre que vive**…

El participio presente **ζῶν** es adjetival (no verbal) porque lleva el artículo (**ὁ**). El uso del participio es atributivo porque modifica el sustantivo **πατήρ** como se desprende de la construcción artículo-participio-sustantivo y porque **ζῶν** concuerda con **πατήρ** (su sujeto) en caso (nominativo), género (masculino), y número (singular). El sustantivo **πατήρ** está en caso nominativo porque es el sujeto del verbo **ἀπέστειλέν.**

Ejemplo 5: …ἀπῆλθεν **ὁ ἄγγελος ὁ λαλῶν** αὐτῷ
…el ángel **que hablaba** con él se fue

El participio presente **λαλῶν** es adjetival (no verbal) porque lleva el artículo (**ὁ**). El uso del participio es atributivo porque modifica el sustantivo **ἄγγελος** como se desprende de la construcción artículo-sustantivo-artículo-participio y porque **λαλῶν** concuerda con **ἄγγελος** en caso (nominativo), género (masculino), y número (singular). El sustantivo **ἄγγελος** está en el caso nominativo porque es el sujeto del verbo **ἀπῆλθεν**. Observe que, en este contexto, la traducción "hablaba" es apropiada a pesar de ser un participio presente.

Uso predicativo (Ejemplos del tiempo presente)
Con el uso predicativo, el participio completa un pensamiento sobre un sustantivo. El uso predicativo normalmente no lleva el artículo, aunque el sustantivo asociado muchas veces sí lo lleva. El uso predicativo es común con verbos de percepción como βλέπω (veo). Al igual que el adjetivo, la presencia y posición del artículo ayudan a indicar estos vínculos. El siguiente cuadro presenta una lista reducida de las construcciones posibles. Para la lista completa, ver 12.1.3.

Posición	**Uso predicativo**	**Traducción**
Con el artículo		
1ª Posición	ἅγιος ὁ ἄνθρωπος	El hombre es santo.
2ª Posición	ὁ ἄνθρωπος ἅγιος	

Ejemplo 6: **…**βλέπει τὸν Ἰησοῦν **ἐρχόμενον** πρὸς αὐτόν.
…Él ve (vio) a Jesús **que venía** a Él.

A pesar de que el participio presente **ἐρχόμενον** no lleva el artículo, el participio es adjetival (no verbal) porque no modifica un verbo. El uso del participio es predicativo porque completa un pensamiento sobre el sustantivo **Ἰησοῦν** (él venía). Como en este ejemplo, el participio predicativo a menudo acompaña un verbo de percepción (**βλέπει**). El sustantivo **Ἰησοῦν** es el sujeto del participio. Como tal, el participio concuerda con **Ἰησοῦν** en caso (acusativo), género (masculino), y número (singular). El caso de **Ἰησοῦν** es acusativo porque es el objeto directo del verbo **βλέπει**.

24.2 VERBOS OMEGA: PRESENTE PARTICIPIO (TODAS LAS VOCES)

Memorice las formas de λύω. Con esto dicho, concéntrese en las formas masculinas puesto que son, en general, las más comunes, sobre todo, las del nominativo.

24.2.1 Formas del presente activo participio de λύω

Caso	3ª Declinación	1ª Declinación	3ª Declinación
	Masculino	**Femenino**	**Neutro**
Singular			
Nominativo	λύ**ων**	λύ**ουσα**	λύ**ον**
Genitivo	λύ**οντος**	λυ**ούσης**	λύ**οντος**
Dativo	λύ**οντι**	λυ**ούσῃ**	λύ**οντι**
Acusativo	λύ**οντα**	λύ**ουσαν**	λύ**ον**
Plural			
Nominativo	λύ**οντες**	λύ**ουσαι**	λύ**οντα**
Genitivo	λυ**όντων**	λυ**ουσῶν**	λυ**όντων**
Dativo	λύ**ουσι(ν)**	λυ**ούσαις**	λύ**ουσι(ν)**
Acusativo	λύ**οντας**	λύ**ουσας**	λύ**οντα**

24.2.2 Formas del presente medio/pasivo participio de λύω

Caso	2ª Declinación	1ª Declinación	2ª Declinación
	Masculino	**Femenino**	**Neutro**
Singular			
Nominativo	λυ**όμενος**	λυ**ομένη**	λυ**όμενον**
Genitivo	λυ**ομένου**	λυ**ομένης**	λυ**ομένου**
Dativo	λυ**ομένῳ**	λυ**ομένῃ**	λυ**ομένῳ**
Acusativo	λυ**όμενον**	λυ**ομένην**	λυ**όμενον**
Plural			
Nominativo	λυ**όμενοι**	λυ**όμεναι**	λυ**όμενα**
Genitivo	λυ**ομένων**	λυ**ομένων**	λυ**ομένων**
Dativo	λυ**ομένοις**	λυ**ομέναις**	λυ**ομένοις**
Acusativo	λυ**ομένους**	λυ**ομένας**	λυ**όμενα**

24.3 VERBOS MI: PRESENTE ACTIVO PARTICIPIO

De los verbos mi que normalmente presentamos, solo las formas del participio de εἰμί y δίδωμι (masculino, activo) aparecen con una frecuencia que justifica su inclusión. Las formas de εἰμί se listan primero porque son más comunes.

24.3.1 Formas del presente activo participio de εἰμί

No es necesario memorizar estas formas porque son idénticas a las terminaciones que se dieron con los verbos omega.

Caso	**3ª Declinación**	**1ª Declinación**	**3ª Declinación**
	Masculino	**Femenino**	**Neutro**
Singular			
Nominativo	ὤν	οὖσα	ὄν
Genitivo	ὄντος	οὔσης	ὄντος
Dativo	ὄντι	οὔσῃ	-
Acusativo	ὄντα	οὖσαν	-
Plural			
Nominativo	ὄντες	οὖσαι	ὄντα
Genitivo	ὄντων	οὐσῶν	ὄντων
Dativo	οὖσιν	-	-
Acusativo	ὄντας	-	ὄντα

24.3.2 Formas del presente activo participio de δίδωμι (masculino)

Como con todos los verbos mi del presente, la duplicación con iota se ve fácilmente. Aparte del nominativo singular (διδούς), las formas son parecidas a las aprendidas con los verbos omega sin la vocal conectiva. Así que, no es necesario memorizarlas.

Caso	**3ª Declinación**
	Masculino
Singular	
Nominativo	διδούς
Genitivo	διδόντος
Dativo	διδόντι
Acusativo	διδόντα
Plural	
Nominativo	διδόντες
Genitivo	-
Dativo	-
Acusativo	-

24.4 EJERCICIOS

Lea las siguientes oraciones en voz alta y luego tradúzcalas. Con los primeros 30 ejercicios, analice la palabra **en negrita**. Para los participios, "analice" significa escribir el tiempo, voz, "participio" en la posición de modo, caso, género, número, y la forma léxica.

Además, si la palabra en negrita es un participio:

1. Indique si el uso es sustantivado (el participio funciona como un sustantivo), atributivo (modifica un sustantivo), o predicativo (completa un pensamiento sobre un sustantivo).

2. Indique por qué el participio tiene el caso que tiene. Es decir, si el uso es sustantivado, el participio tiene el caso que tiene porque realiza una función en la oración como sujeto, objeto, directo, objeto indirecto, etc. ¿Cuál es la función del participio en negrita? Si el uso es atributivo o predicativo, tiene el caso que tiene porque concuerda con su sujeto en caso. ¿Cuál es el sujeto del participio?

1. Μακάριοι οἱ ὀφθαλμοὶ οἱ **βλέποντες** ἃ βλέπετε. λέγω γὰρ ὑμῖν ὅτι πολλοὶ προφῆται καὶ βασιλεῖς ἠθέλησαν ἰδεῖν (ver) ἃ ὑμεῖς βλέπετε καὶ οὐκ εἶδαν, καὶ ἀκοῦσαι (escuchar) ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν. (ΚΑΤΑ ΛΟΥΚΑΝ 10:24)

2. καὶ εἶπεν αὐτοῖς, Ὑμεῖς ἐστε οἱ **δικαιοῦντες** ἑαυτοὺς ἐνώπιον τῶν ἀνθρώπων, ὁ δὲ θεὸς γινώσκει τὰς καρδίας ὑμῶν·

3. Λέγω γὰρ ὑμῖν, ὅτι παντὶ τῷ ἔχοντι **δοθήσεται**· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρθήσεται ἀπ' αὐτοῦ. (ΚΑΤΑ ΛΟΥΚΑΝ 19:26)

4. Εἰς τὰ ἴδια ἦλθεν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι (llegar a ser), τοῖς **πιστεύουσιν** εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν.

5. Οὕτως γὰρ ἠγάπησεν ὁ θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ (unigénito) ἔδωκεν, ἵνα πᾶς ὁ **πιστεύων** εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται· ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς (unigénito) υἱοῦ τοῦ θεοῦ. Αὕτη δέ ἐστιν ἡ κρίσις, ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον, καὶ ἠγάπησαν οἱ ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς· ἦν γὰρ πονηρὰ αὐτῶν τὰ ἔργα. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:16-19)

6. Ὁ δὲ ποιῶν τὴν ἀλήθειαν ἔρχεται πρὸς τὸ φῶς, ἵνα **φανερωθῇ** αὐτοῦ τὰ ἔργα, ὅτι ἐν θεῷ ἐστιν εἰργασμένα (han sido realizadas). Μετὰ ταῦτα ἦλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὴν Ἰουδαίαν γῆν·

7. Ὁ πατὴρ **ἀγαπᾷ** τὸν υἱόν, καὶ πάντα δέδωκεν ἐν τῇ χειρὶ αὐτοῦ. Ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν (el que desobedece) τῷ υἱῷ, οὐκ ὄψεται ⌜ ζωήν, ⌝ ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μένει ἐπ' αὐτόν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:35-36)

8. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ, Πᾶς ὁ **πίνων** ἐκ τοῦ ὕδατος τούτου, διψήσει (tendrá sed) πάλιν· ὃς δ' ἂν πίῃ ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσῃ (nunca jamás tendrá sed) εἰς τὸν αἰῶνα·

9. Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. Ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ (verdaderos) προσκυνηταὶ (adoradores) προσκυνήσουσιν τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ τοιούτους ζητεῖ τοὺς **προσκυνοῦντας** αὐτόν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:22-23)

10. Ἀπεκρίνατο οὖν ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς ποιεῖν (hacer) ἀφ' ἑαυτοῦ οὐδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα **ποιοῦντα**· ἃ γὰρ ἂν ἐκεῖνος ποιῇ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως (asimismo) ποιεῖ.

11. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ **πιστεύων** τῷ πέμψαντί (al que envió) με, ἔχει ζωὴν αἰώνιον· καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν (ha pasado) ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:24)

12. Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής (verdadero) ἐστιν ἡ μαρτυρία **ἣν** μαρτυρεῖ περὶ ἐμοῦ. Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ. Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε.

13. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς **δέδωκεν** ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν (verdadero). Ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:32-33)

14. Πᾶν ὃ δίδωσίν μοι ὁ πατὴρ πρὸς ἐμὲ ἥξει (vendrá)· καὶ τὸν **ἐρχόμενον** πρός με οὐ μὴ ἐκβάλω ἔξω. Ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ, οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός (del que envió) με. Τοῦτο δέ ἐστιν τὸ θέλημα τοῦ πέμψαντός (del que … envió) με πατρός, ἵνα πᾶν ὃ δέδωκέν μοι, μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ ἀναστήσω ⌜ αὐτὸ ⌝⌜ τῇ ⌝ ἐσχάτῃ ἡμέρᾳ. Τοῦτο δέ ἐστιν τὸ θέλημα τοῦ πέμψαντός (del que … envió) με, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτόν, ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐγὼ τῇ ἐσχάτῃ ἡμέρᾳ.

15. Οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ **ἀποθάνῃ**. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς (que descendió)· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:50-51)

16. Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου· ὁ **ἀκολουθῶν** ἐμοὶ οὐ μὴ περιπατήσῃ ἐν τῇ σκοτίᾳ (tinieblas), ἀλλ' ἕξει τὸ φῶς τῆς ζωῆς. Εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι, Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀληθής (verdadero).

17. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστιν τῆς **ἁμαρτίας**. Ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ υἱὸς μένει εἰς τὸν αἰῶνα. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:34-35)

18. Εἰ δὲ ἀλήθειαν λέγω, διὰ τί ὑμεῖς οὐ πιστεύετέ μοι; Ὁ **ὢν** ἐκ τοῦ θεοῦ τὰ ῥήματα τοῦ θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ τοῦ θεοῦ οὐκ ἐστέ. Ἀπεκρίθησαν οὖν οἱ Ἰουδαῖοι καὶ εἶπον αὐτῷ, Οὐ καλῶς λέγομεν ἡμεῖς ὅτι Σαμαρείτης (samaritano) εἶ σύ, καὶ δαιμόνιον ἔχεις;

19. Ἀπεκρίθη Ἰησοῦς, Ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι θεὸς ἡμῶν ἐστιν, καὶ οὐκ **ἐγνώκατε** αὐτόν· ἐγὼ δὲ οἶδα αὐτόν, καὶ ἐὰν εἴπω ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος ὑμῶν, ψεύστης (mentiroso)· ἀλλ' οἶδα αὐτόν, καὶ τὸν λόγον αὐτοῦ τηρῶ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:54-55)

20. Καὶ εἶπεν ὁ Ἰησοῦς, Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ **βλέποντες** βλέπωσιν, καὶ οἱ βλέποντες τυφλοὶ γένωνται. Καὶ ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ, Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε ὅτι Βλέπομεν· ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

21. Ἀλλὰ καὶ νῦν οἶδα ὅτι ὅσα ἂν αἰτήσῃ τὸν θεόν, δώσει σοι ὁ θεός. Λέγει αὐτῇ ὁ Ἰησοῦς, **Ἀναστήσεται** ὁ ἀδελφός σου. Λέγει αὐτῷ Μάρθα (Marta), Οἶδα ὅτι ἀναστήσεται ἐν τῇ ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. Εἶπεν αὐτῇ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή· ὁ πιστεύων εἰς ἐμέ, κἂν (y si) ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα. Πιστεύεις τοῦτο; Λέγει αὐτῷ, Ναί (Sí), κύριε· ἐγὼ πεπίστευκα, ὅτι σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ, ὁ εἰς τὸν κόσμον ἐρχόμενος. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:22-27)

22. Ἠγάπησαν γὰρ τὴν δόξαν τῶν ἀνθρώπων μᾶλλον ἤπερ (que) τὴν δόξαν τοῦ θεοῦ. Ἰησοῦς δὲ ἔκραξεν καὶ εἶπεν, Ὁ **πιστεύων** εἰς ἐμέ, οὐ πιστεύει εἰς ἐμέ, ἀλλ' εἰς τὸν πέμψαντά (al que … envió) με· καὶ ὁ θεωρῶν ἐμέ, θεωρεῖ τὸν πέμψαντά (al que … envió) με.

23. Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με· ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοί, καὶ ἐγὼ ἐν ὑμῖν. Ὁ **ἔχων** τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτόν… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:19-21)

24. Οὐ γὰρ ἐπαισχύνομαι (me avergüenzo) τὸ εὐαγγέλιον τοῦ Χριστοῦ· δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ **πιστεύοντι**, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι (al griego).

25. Τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι. Μωϋσῆς γὰρ γράφει τὴν **δικαιοσύνην** τὴν ἐκ τοῦ νόμου… (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 10:4-5)

26. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Ὁ **λέγων**, Ἔγνωκα αὐτόν, καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης (mentiroso) ἐστίν, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν·

27. Ἐὰν **εἰδῆτε** ὅτι δίκαιός ἐστιν, γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται. (ΙΩΑΝΝΟΥ Α 2:29)

28. Καὶ πᾶς ὁ ἔχων τὴν **ἐλπίδα** ταύτην ἐπ' αὐτῷ ἁγνίζει (santifica) ἑαυτόν, καθὼς ἐκεῖνος ἁγνός (santo) ἐστιν.

29. Πᾶς ὁ ἐν αὐτῷ **μένων** οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτόν, οὐδὲ ἔγνωκεν αὐτόν. (ΙΩΑΝΝΟΥ Α 3:6)

30. ὁ **ποιῶν** τὴν δικαιοσύνην δίκαιός ἐστιν, καθὼς ἐκεῖνος δίκαιός ἐστιν· ὁ ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. Εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ, ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου.

31. Ἐν τούτῳ φανερά (evidentes) ἐστιν τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ. Ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ' ἀρχῆς, ἵνα ἀγαπῶμεν ἀλλήλους· (ΙΩΑΝΝΟΥ Α 3:10-11)

32. Καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. Καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκεν.

33. Αὐτοὶ ἐκ τοῦ κόσμου εἰσίν· διὰ τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν, καὶ ὁ κόσμος αὐτῶν ἀκούει. Ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν θεόν, ἀκούει ἡμῶν· ὃς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, οὐκ ἀκούει ἡμῶν. Ἐκ τούτου γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς πλάνης (engaño). Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους· ὅτι ἡ ἀγάπη ἐκ τοῦ θεοῦ ἐστιν, καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ γεγέννηται, καὶ γινώσκει τὸν θεόν. (ΙΩΑΝΝΟΥ Α 4:5-7)

34. Ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν θεόν· ὅτι ὁ θεὸς ἀγάπη ἐστίν. Ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ (unigénito) ἀπέσταλκεν ὁ θεὸς εἰς τὸν κόσμον, ἵνα ζήσωμεν δι' αὐτοῦ. Ἐν τούτῳ ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήσαμεν τὸν θεόν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ ἱλασμὸν (propiciación) περὶ τῶν ἁμαρτιῶν ἡμῶν.

35. Ἡμεῖς ἀγαπῶμεν αὐτόν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς. Ἐάν τις εἴπῃ ὅτι Ἀγαπῶ τὸν θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης (mentiroso) ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακεν, τὸν θεὸν ὃν οὐχ ἑώρακεν πῶς δύναται ἀγαπᾷν (amar); Καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν θεόν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. (ΙΩΑΝΝΟΥ Α 4:19-21)

36. Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός, ἐκ τοῦ θεοῦ γεγέννηται· καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα (al que hace nacer) ἀγαπᾷ καὶ τὸν γεγεννημένον (al que ha nacido) ἐξ αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ θεοῦ, ὅταν τὸν θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν.

37. Ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ· ὁ μὴ πιστεύων τῷ θεῷ ψεύστην (mentiroso) πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν, ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ. Καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ἡμῖν ὁ θεός, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν. Ὁ ἔχων τὸν υἱὸν ἔχει τὴν ζωήν·

ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ τὴν ζωὴν οὐκ ἔχει. Ταῦτα ἔγραψα ὑμῖν τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ, ἵνα εἰδῆτε ὅτι ζωὴν αἰώνιον ἔχετε καὶ ἵνα πιστεύητε εἰς τὸ ὄνομα τοῦ ὑιοῦ τοῦ θεοῦ. (ΙΩΑΝΝΟΥ Α 5:10-13)

38. Ὧδε ἡ ὑπομονὴ τῶν ἁγίων ἐστίν· ⌜ οἱ ⌝ τηροῦντες τὰς ἐντολὰς τοῦ θεοῦ καὶ τὴν πίστιν Ἰησοῦ.

39. …ὁ πειράζων εἶπεν, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ (Di) ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 4:3)

40. Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ.

41. Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν (recompensa) ἔχετε; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:46)

42. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι (al que toca) ἀνοιγήσεται.

43. Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς. Πολλοὶ ἐροῦσίν μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, κύριε, οὐ τῷ σῷ (tu) ὀνόματι προεφητεύσαμεν (profetizamos), καὶ τῷ σῷ (tu) ὀνόματι δαιμόνια ἐξεβάλομεν, καὶ τῷ σῷ (tu) ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 7:21-22)

44. Τῶν δὲ δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστιν ταῦτα· πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας (Andrés) ὁ ἀδελφὸς αὐτοῦ·

45. οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 10:20-21)

46. Ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά (al que … envió) με. Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου μισθὸν (recompensa) προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου μισθὸν (recompensa) δικαίου λήψεται.

47. Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστιν, καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει (esparce). Διὰ τοῦτο λέγω ὑμῖν, Πᾶσα ἁμαρτία καὶ βλασφημία (blasfemia) ἀφεθήσεται τοῖς ἀνθρώποις· ἡ δὲ τοῦ πνεύματος βλασφημία (blasfemia) οὐκ ἀφεθήσεται τοῖς ἀνθρώποις. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 12:30-31)

48. …εἶπεν αὐτοῖς, Ὁ σπείρων τὸ καλὸν σπέρμα ἐστὶν ὁ υἱὸς τοῦ ἀνθρώπου· ὁ δὲ ἀγρός (campo) ἐστιν ὁ κόσμος· τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασιλείας·

49. Οἱ δὲ ἐσθίοντες ἦσαν ἄνδρες ὡσεὶ (aproximadamente) πεντακισχίλιοι (5,000), χωρὶς γυναικῶν καὶ παιδίων. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 14:21)

50. …δὲ Σίμων Πέτρος εἶπεν, Σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος.

51. Οἱ δὲ ὄχλοι οἱ προάγοντες (que iban delante de *él*) καὶ οἱ ἀκολουθοῦντες ἔκραζον, λέγοντες (diciendo), Ὡσαννὰ τῷ υἱῷ Δαυίδ· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 21:9)

52. ὑμεῖς γὰρ οὐκ εἰσέρχεσθε, οὐδὲ τοὺς εἰσερχομένους ἀφίετε εἰσελθεῖν (entrar).

53. Ἐγείρεσθε (Levántense), ἄγωμεν. Ἰδού, ἤγγικεν ὁ παραδιδούς με. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 26:46)

54. …εἶπεν αὐτοῖς ὁ Πιλάτος, Τίνα θέλετε ἀπολύσω ὑμῖν; Βαραββᾶν (Barabás), ἢ Ἰησοῦν τὸν λεγόμενον Χριστόν;

55. Ὁ σπείρων τὸν λόγον σπείρει. Οὗτοι δέ εἰσιν οἱ παρὰ τὴν ὁδόν, ὅπου σπείρεται ὁ λόγος, καὶ ὅταν ἀκούσωσιν, εὐθέως ἔρχεται ὁ Σατανᾶς (Satanás) καὶ αἴρει τὸν λόγον τὸν ἐσπαρμένον (sembrada) ἐν ταῖς καρδίαις αὐτῶν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 4:14-15)

24.5 VOCABULARIO

Verbos

1. **ἀγοράζω** compro 1 Co 6:20
   ἠγοράσθητε γὰρ τιμῆς·
   ustedes fueron comprados por un precio

2. **καυχάομαι** me jacto 1 Co 1:31
   Ὁ **καυχώμενος**, ἐν κυρίῳ **καυχάσθω**.
   El que **se jacta**, que **se jacte** en el Señor

3. **συνέρχομαι** (συν + ερχ* and ελθ*) voy con, me reúno
   a. πρὶν ἢ **συνελθεῖν** αὐτούς Mateo 1:18
      antes de que **se reunieran**
   b. ὅπου πάντοτε οἱ Ἰουδαῖοι **συνέρχονται** Juan 18:20
      donde los judíos siempre **se reunían**

4. **φυλάσσω** guardo, mantengo 2 Ti 1:12
   δυνατός ἐστιν τὴν παραθήκην μου **φυλάξαι** εἰς ἐκείνην τὴν ἡμέραν.
   él es capáz **de guardar** lo que le he encomendado hasta aquel día

Sustantivos

5. **ὁ ἄνεμος**, ου viento Mateo 7:25
   ἔπνευσαν οἱ **ἄνεμοι**, καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσεν·
   los **vientos** soplaron y dieron contra aquella casa y no se cayó

6. **τὸ ἀρνίον**, ου cordero, oveja Ap 17:14
   μετὰ τοῦ **ἀρνίου** πολεμήσουσιν, καὶ τὸ **ἀρνίον** νικήσει αὐτούς
   contra el **cordero** harán guerra y el **cordero** los vencerá

7. **ἡ διδαχή**, ῆς enseñanza 2 Ti 4:2
   ἐπιτίμησον, παρακάλεσον, ἐν πάσῃ μακροθυμίᾳ καὶ **διδαχῇ**.
   regaña, exhorta, con toda perseverancia y **enseñanza**

8. **ὁ ἥλιος**, ου sol Ap 21:23
   Καὶ ἡ πόλις οὐ χρείαν ἔχει τοῦ **ἡλίου**
   Y la ciudad no tiene necesidad del **sol**

9. **ὁ οἶνος**, ου vino Juan 2:9
   τὸ ὕδωρ **οἶνον** γεγενημένον
   el agua hecha **vino**

10. **τὸ ποτήριον**, ου taza, copa 1 Co 11:25
    Τοῦτο τὸ **ποτήριον** ἡ καινὴ διαθήκη ἐστὶν
    Esta **copa** es el nuevo pacto

11. **ἡ ὑπομονή**, ῆς — perseverancia, paciencia — Rom 5:3-4
ἡ θλῖψις **ὑπομονὴν** κατεργάζεται, ἡ δὲ **ὑπομονὴ** δοκιμήν
la tribulación produce **perseverancia**, pero la **perseverancia** carácter

Adjetivos

12. **ἀκάθαρτος, ον** — impuro(a) — 2 Co 6:17
ἀκαθάρτου μὴ ἅπτεσθε·
no toquen lo **impuro**

13. **ποῖος, α, ον** — qué, cuál — Mateo 21:23
Ἐν **ποίᾳ** ἐξουσίᾳ ταῦτα ποιεῖς;
¿con **qué** autoridad haces estas cosas?

Conjunción

14. **μήτε** — y no, ni — Mateo 11:18
Ἦλθεν γὰρ Ἰωάννης **μήτε** ἐσθίων **μήτε** πίνων
Porque Juan vino **ni** comiendo **ni** bebiendo

Partícula

15. **γε** — de verdad — Hechos 8:30
Ἆρά **γε** γινώσκεις ἃ ἀναγινώσκεις;
¿Así que, **de verdad** sabes las cosas que lees?

25 PARTICIPIO AORISTO

25.1 GRAMÁTICA

25.1.1 Introducción

Repase las secciones 24.1.1 a 24.1.9 0porque la información presentada también aplica al participo aoristo.

25.1.2 Un vistazo de las partes del aoristo activo y medio/pasivo

λύσας

λυ	σα	ς
Tema aoristo	**Señal temporal del aoristo**	**Terminación del aoristo activo nominativo, masculino, singular**

Ráiz: **λυ***

25.1.3 Aumento

El participio aoristo no llevará aumento porque solo aparece en verbos del tiempo aoristo e imperfecto del modo indicativo.

25.1.4 Señal temporal

Los verbos del primer aoristo normalmente usan sigma-alfa (σα) como la señal temporal del aoristo activo y medio. Recuerde que, cuando esta señal interactúa con ciertas consonantes, resultan cambios ortográficos. Repase 15.1.7 o 19.1.8 para ver los cambios.

Los verbos líquidos (verbos cuyos temas terminan en lambda (λ), mu (μ), nu (ν), o rho (ρ)) usan alfa (α) como la señal temporal.

Los verbos del segundo aoristo no usan una señal temporal. En su lugar, el tema aoristo se identifica con un tema aoristo que difiere del tema presente.

Los verbos del primer y segundo aoristo usan theta-épsilon (θε) como su señal temporal.

25.1.5 Terminaciones del aoristo activo, medio, y pasivo participio

	Caso	Primer aoristo			Segundo aoristo		
		Masculino	**Femenino**	**Neutro**	**Masculino**	**Femenino**	**Neutro**
Voz activa							
Singular	Nominativo	σας	σασα	σαν	ων	ουσα	ον
	Genitivo	σαντος	-	-	οντος	ουσης	οντος
	Dativo	σαντι	-	-	οντι	ουσῃ	-
	Acusativo	σαντα	σασαν	σαν	οντα	ουσαν	ον
Plural	Nominativo	σαντες	σασαι	-	οντες	ουσαι	οντα
	Genitivo	σαντων	-	-	οντων	-	-
	Dativo	σασι(ν)	-	-	ουσι(ν)	ουσαις	-
	Acusativo	σαντας	-	σαντα	οντας	ουσας	-
Voz media							
Singular	Nominativo	σαμενος	σαμενη	σαμενον	ομενος	-	-
	Genitivo	σαμενου	σαμενης	-	ομενου	ομενης	ομενου
	Dativo	-	-	-	-	-	-
	Acusativo	σαμενον	-	-	ομενον	ομενην	ομενον
Plural	Nominativo	σαμενοι	-	-	ομενοι	ομεναι	-
	Genitivo	σαμενων	-	-	ομενων	ομενων	ομενων
	Dativo	σαμενοις	-	-	ομενοις	-	ομενοις
	Acusativo	σαμενους	-	-	ομενους	-	ομενα
Voz pasiva							
Singular	Nominativo	θεις	θεισα	θεν	Las mismas que las del primer aoristo.		
	Genitivo	θεντος	θεισης	θεντος			
	Dativo	θεντι	θεισῃ	-			
	Acusativo	θεντα	θεισαν	θεν			
Plural	Nominativo	θεντες	θεισαι	θεντα			
	Genitivo	θεντων	θεισων	θεντων			
	Dativo	-	-	θεισιν			
	Acusativo	θεντας	-	θεντα			

25.1.6 Tema aoristo

Las terminaciones del cuadro anterior se agregan al tema aoristo respectivo. Si es necesario, repase las secciones 18.1.8, 19.1.7, y 0.

25.1.7 Repaso del participio, sus usos, y el artículo

Para repasar, el participio cuenta con usos adjetivales y verbales. La presencia del artículo es la pista más importante del contexto para determinar el uso del participio. Si el artículo acompaña el participio, el uso del participio siempre será adjetival. Si el artículo está ausente, el participio es a veces adjetival pero muchas veces es verbal. El contexto tiene que ser examinado para decidir entre los dos.

El ver varios ejemplos es la mejor forma de entender los distintos usos. El capítulo anterior presentó ejemplos del uso adjetival del participio. Este capítulo repasará esos usos con ejemplos del tiempo aoristo. También presentará el uso adverbial propio del participio. El capítulo 26 presentará dos usos verbales más.

25.1.8 Usos adjetivales del participio (Ejemplos con el tiempo aoristo)

Considere los siguientes ejemplos del uso sustantivado y atributivo del participio. El uso predicativo no está incluido porque no es muy común con el tiempo aoristo.

Uso sustantivado (Ejemplos con el tiempo aoristo)
Con este uso, el participio funciona como un sustantivo.

Ejemplo 1: **ὁ εὑρὼν** τὴν ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν...
El que encuentra su vida la perderá…

El participio aoristo **εὑρών** es adjetival porque lleva el artículo (**ὁ**)**.** El uso del participio es sustantivado porque no modifica otro sustantivo en la oración. El participio está en caso nominativo porque es el sujeto del verbo **ἀπολέσει**. Observe que en este contexto el participio aoristo es mejor traducirlo con el verbo del tiempo presente "encuentra".

Ejemplo 2: καὶ μακαρία **ἡ πιστεύσασα** ὅτι...
y **la que creyó** es bendita porque…

El participio aoristo **πιστεύσασα** es adjetival porque lleva el artículo (**ἡ**)**.** El uso del participio es sustantivado porque no modifica a un sustantivo en la oración. El participio está en el caso nominativo porque es el sujeto del verbo tácito **ἐστίν**.

Ejemplo 3: ...καὶ ὑπάγω πρός **τὸν πέμψαντά** με.
…y salgo **al que** me **envió**.

El participio aoristo **πέμψαντα** es adjetival porque lleva el artículo (**τόν**). El uso del participio es sustantivado porque no modifica a un sustantivo en la oración. El participio está en el caso acusativo porque es el objeto de la preposición **πρός**.

Uso atributivo (Ejemplos del tiempo aoristo)
Con este uso, el participio modifica a un sustantivo.

Ejemplo 4: ...ὁ φαρισαῖος **ὁ καλέσας** αὐτὸν εἶπεν ἐν ἑαυτῷ...
...el fariseo **que** le **invitó** se dijo a sí mismo…

El participio aoristo **καλέσας** es adjetival porque lleva el artículo (**ὁ**). El uso del participio es atributivo porque modifica el sustantivo **φαρισαῖος** como se desprende de la construcción artículo-sustantivo-artículo-participio y porque **καλέσας** concuerda con **φαρισαῖος** (su sujeto) en caso (nominativo), género (masculino), y número (singular). El sustantivo **φαρισαῖος** está en el caso nominativo porque es el sujeto del verbo **εἶπεν**.

Ejemplo 5: …καὶ ἐδόξασαν τὸν θεὸν **τὸν δόντα** ἐξουσίαν τοιαύτην...
…y glorificaron al Dios **que dio** tal autoridad…

El participio aoristo **δόντα** es adjetival porque lleva el artículo (**τόν**). El uso del participio es atributivo porque modifica el sustantivo **θεόν** como se desprende del artículo-sustantivo-artículo-participio construcción y porque **δόντα** concuerda con **θεόν** (su sujeto) en caso (acusativo), género (masculino), y número (singular). El sustantivo **θεόν** está en el caso acusativo porque es el objeto directo del verbo **ἐδόξασαν**.

25.1.9 Usos verbales con el participio (Ejemplos del tiempo presente y aoristo)

Un participio que no lleva el artículo a veces es adjetival pero a menudo es verbal. El contexto particular tiene que examinarse para decidir. Los usos verbales más comunes pueden dividirse en las siguientes subcategorías: adverbial, perifrástico, y genitivo absoluto. El uso adverbial se presenta en este capítulo. El uso perifrástico y genitivo se presentan en el capítulo 26.

Uso adverbial (Ejemplos del tiempo presente y aoristo)
47. τῇ γὰρ χάριτί ἐστε σεσῳσμένοι διὰ τῆς πίστεως, καὶ τοῦτο οὐκ ἐξ ὑμῶν· θεοῦ τὸ δῶρον (don)· οὐκ ἐξ ἔργων, ἵνα μή τις καυχήσηται. (ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ 2:8-9)

48. Πεποιθὼς τῇ ὑπακοῇ (obediencia) σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ λέγω ποιήσεις.

49. Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει· καὶ οὐ δύναται ἁμαρτάνειν (pecar), ὅτι ἐκ τοῦ θεοῦ γεγέννηται. (ΙΩΑΝΝΟΥ Α 3:9)

50. Πᾶσα ἀδικία (injusticia) ἁμαρτία ἐστίν· καὶ ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. Οἴδαμεν ὅτι πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει· ἀλλ' ὁ γεννηθεὶς ἐκ τοῦ θεοῦ τηρεῖ ἑαυτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ. Οἴδαμεν ὅτι ἐκ τοῦ θεοῦ ἐσμεν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ πονηρῷ κεῖται (está bajo).

26.4 VOCABULARIO

Verbos

1. **ἄρχομαι** empiezo a, comienzo Hechos 1:1
   ὧν **ἤρξατο** ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν
   de las cosas que Jesús **empezó** a hacer y enseñar

2. **ἐνδύω** me pongo, me visto Mateo 22:11
   εἶδεν ἐκεῖ ἄνθρωπον οὐκ **ἐνδεδυμένον** ἔνδυμα γάμου·
   él vio allí un hombre no **vestido** en traje de boda.

3. **ἡγέομαι** considero, pienso 1 Ti 1:12
   πιστόν με **ἡγήσατο**, θέμενος εἰς διακονίαν
   El me **consideró** fiel, poniéndo*me* en ministerio

4. **ἰσκύω** soy fuerte, capaz, fortalezco Fil 4:13
   Πάντα **ἰσχύω** ἐν τῷ ἐνδυναμοῦντί με
   Soy capaz *de hacer* todo con él que me fortalece

Sustantivos

5. **ὁ/ἡ διάκονος,** ου siervo, ministro 1 Ti 4:6
   καλὸς ἔσῃ **διάκονος** Ἰησοῦ Χριστοῦ
   serás un buen **siervo** de Jesucristo

6. **ἡ θυσία,** ας sacrifico Rom 12:1
   παραστῆσαι τὰ σώματα ὑμῶν **θυσίαν** ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ θεῷ
   para presentar sus cuerpos un **sacrificio** vivo, santo, y agradable a Dios

Adjetivos

7. **ἀληθινός, ή, όν** verdadero(a) Juan 15:1
   Ἐγώ εἰμι ἡ ἄμπελος ἡ **ἀληθινή**
   Yo soy la vid **verdadera**

8. **ἰσχυρός, ά, όν** fuerte 1 Co 4:10
   ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ **ἰσχυροί**·
   nosotros *somos* débiles, pero ustedes **fuertes**.

Preposiciones

9. **διὰ τὸ** + infinitivo por, por causa de *+ verbo* Marcos 4:6
   διὰ τὸ μὴ **ἔχειν** ῥίζαν ἐξηράνθη.
   porque no **tenía** raíz se secó.

10. **εἰς τὸ** + infinitivo para, para que *+ verbo* Mateo 27:31
    ἀπήγαγον αὐτὸν **εἰς τὸ σταυρῶσαι**.
    lo llevaron **para crucificar**lo.

11. **ἐν τῷ** + infinitivo — cuando, mientras (que) *+ verbo* — Mateo 13:4
Καὶ **ἐν τῷ σπείρειν** αὐτόν, ἃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν·
Y **mientras él sembraba,** por un lado algunas (semillas) cayeron junto al camino

12. **μετὰ τὸ** + infinitivo — después de (que) *+ verbo* — Hechos 19:21
Μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν.
Después de que haya estado allí, es necesario que yo vea Roma también.

13. **πρὸς τὸ** + infinitivo — para, para que *+ verbo* — Mateo 23:5
Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσιν **πρὸς τὸ θεαθῆναι** τοῖς ἀνθρώποις·
Pero todas sus obras hacen **para ser vistos** por hombres.

Conjunción

14. **ἐπεί** — por, porque, puesto que — Rom 11:6
ἐπεὶ ἡ χάρις οὐκέτι γίνεται χάρις.
porque la gracia ya no es gracia.

Interjección

15. **οὐαί** — ay — 1 Co 9:16
οὐαὶ δέ μοι ἐστίν, ἐὰν μὴ εὐαγγελίζωμαι.
pero **ay** a mí es si no predico el evangelio.

27 INFINITIVOS

27.1 GRAMÁTICA

27.1.1 Introducción a los infinitivos en griego

Los infinitivos griegos combinan en una palabra la naturaleza de dos partes de la gramática, el sustantivo y el verbo. Los infinitivos son sustantivos verbales. La naturaleza verbal se refleja en que los infinitivos cuentan con tiempo y voz. También pueden realizar algunas funciones verbales en una oración y tener un objeto directo e indirecto. La naturaleza del sustantivo se refleja en que los infinitivos pueden realizar algunas funciones de los sustantivos como ser el sujeto u objeto directo. En español, los ejemplos del infinitivo incluyen "correr", "caminar", "ver", etc.

27.1.2 Tiempo

Los infinitivos griegos cuentan con distintas formas que comunican tiempo. Los tiempos posibles para los infinitivos son el presente, aoristo, o perfecto. Los tiempos comunican cómo la acción es presentada por el hablante/escritor. El siguiente cuadro presenta los tiempos y la descripción correspondiente.

Tiempo	Cómo la acción se presenta
Presente	En progreso o en curso
Aoristo	De forma resumida
Perfecto	De forma resumida con resultados en curso

Para los infinitivos, el tiempo no comunica el tiempo cronológico de la acción. Esto contrasta con el modo indicativo y con los participios donde el tiempo puede comunicar el tiempo cronológico absoluto o relativo al verbo central, respectivamente.

Por último, estas descripciones son básicas. Algunos factores influyen en la selección del autor en un contexto específico. A veces el autor realmente no tiene "una elección". Por consiguiente, puede ser difícil saber, sobre todo con infinitivos e imperativos (el tema del capítulo 28), la fuerza específica del tiempo en un contexto particular. Le animamos a que no enfatice demasiado o llegue a muchas conclusiones con respecto al tiempo de un infinitivo o imperativo hasta que tenga mejor entendimiento del idioma. Aún así, el asunto puede ser difícil de determinar.

27.1.3 Voz

Los infinitivos cuentan con formas distintas que comunican voz (activa, media, pasiva). Con la voz activa, el sujeto gramatical del infinitivo realiza la acción del infinitivo. Con la voz pasiva, el sujeto del infinitivo recibe la acción. La voz media a menudo se traduce con la voz activa.

27.1.4 Modo

Los infinitivos no cuentan con modo (indicativo, subjuntivo, imperativo). Además, el infinitivo no es un modo técnicamente. No obstante, al analizar un infinitivo, indique que es infinitivo usando la posición para el modo ("presente, activo, infinitivo").

27.1.5 Un vistazo de las partes del infinitivo

λύειν

λυ — **Tema presente**

ειν — **Terminación del activo infinitivo**

Raíz: **λυ***

27.1.6 Tema

Los infinitivos usan los mismos temas que usan los verbos en el tiempo indicativo. Si es necesario, repase los temas.

27.1.7 Terminaciones del infinitivo

Aunque se pueden dividir las terminaciones en sus varias partes (vocal conectiva, señal temporal, desinencia), es más sencillo aprenderlas de forma combinada

Voz	Presente	Aoristo		Perfecto	
		Primer	Segundo	Primer	Segundo
Activa	ειν	σαι	ειν	κεναι	εναι
Media	εσθαι	σασθαι	εσθαι	σθαι	θαι
Pasiva	εσθαι	θηναι	θηναι	σθαι	θαι

Las formas del infinitivo perfecto no están incluidas abajo porque no son tan comunes. Además, los infinitivos del perfecto siempre cuentan con la reduplicación, la cual hace que sean fáciles de identificar.

27.1.8 Palabras clave del infinitivo

Con mucha frecuencia los infinitivos acompañan ciertos verbos. Los infinitivos completan la idea verbal de esas palabras. Apréndanlas bien porque son de mucha ayuda a la hora de analizar una palabra.

Palabras clave	Traducción
δύναμαι	Puedo...
μέλλω	Estoy por…
δεῖ	Es necesario…
ἄρχομαι	Empiezo a…

El verbo θέλω (quiero) también aparece mucho con los infinitivos. No obstante, no es de tanta ayuda porque, a diferencia de las otras palabras clave, ocurre con regularidad con verbos que no son infinitivos.

27.1.9 Estructuras y usos del infinitivo

El infinitivo griego aparece en varias estructuras y cuenta con varios usos. Varios usos son parecidos al español y no requieren mucha explicación. Los infinitivos complementarios o de propósito son ejemplos de este tipo. Su tiempo es mejor invertido si estudia los usos que difieren del español. Los infinitivos con el acusativo de referencia o infinitivos como objeto de preposiciones son ejemplos de este tipo. Considere cada categoría con los ejemplos respectivos.

Uso complementario

El infinitivo complementario completa una idea verbal.[1] Las palabras clave muchas veces se asocian con este uso.

Ejemplo 1: Μέλλει ὁ υἱὸς τοῦ ἀνθρώπου **παραδίδοσθαι** εἰς χεῖρας ἀνθρώπων...
El Hijo de hombre está por **ser entregado** a las manos de hombres…

Ejemplo 2: **...**ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ **προσκυνεῖν**.
…en espíritu y verdad es necesario **adorar**.

[1] A veces el infinitivo es técnicamente el sujeto del verbo.

Uso de propósito
El infinitivo también puede expresar propósito.

Ejemplo 3: Οὐ γὰρ ἦλθον **καλέσαι** δικαίους ἀλλὰ ἁμαρτωλούς.
Porque no vine a **llamar** los justos sino pecadores.

Infinitivos con el acusativo de referencia (Sujeto del infinitivo)
El infinitivo puede ir acompañado de un sustantivo (o pronombre) en el caso acusativo. A veces el sustantivo en el caso acusativo porque es el objeto directo del infinitivo. Otras veces el sustantivo funciona como el sujeto del infinitivo.[2] Puesto que el español no cuenta con la misma estructura, la traducción será más idiomática.

Ejemplo 4: Ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδεν ἀπεκρίθη, ὥστε **θαυμάζειν τὸν Πιλᾶτον**.
Pero Jesús ya no contestó nada de modo que **Pilato se maravillaba** (= maravillarse con respecto a Pilato).

Ejemplo 5: **Ἡμᾶς** δεῖ **ἐργάζεσθαι** τὰ ἔργα τοῦ πέμψαντός με...
Es necesario que **nosotros obremos** (= obrar con respecto a nosotros es necesario) las obras del que me envió…

Ejemplo 6: Λογιζόμεθα γὰρ **δικαιοῦσθαι** πίστει **ἄνθρωπον** χωρὶς ἔργων νόμου.
Porque consideramos que **un hombre es justificado** por fe (= ser justificado con respecto a un hombre) aparte de las obras de la ley.

Ejemplo 7: Πῶς λέγουσιν **τὸν Χριστὸν εἶναι** Δαυὶδ υἱὸν;
¿Cómo dicen ellos que **el Cristo es** (= ser con respecto al Cristo) el hijo de David?

[2] Sería más correcto llamarles a estas instancias “infinitivos con el acusativo de referencia”.

Infinitivos como el objeto de una preposición

Los infinitivos también ocurren con varias preposiciones. El significado que resulta depende de la preposición. Este uso aparece con frecuencia con el acusativo de referencia.

διὰ τὸ + infinitivo (por causa de, porque + verbo)

Ejemplo 8: …οὐκ ἔχετε **διὰ τὸ** μὴ **αἰτεῖσθαι ὑμᾶς**...
...ustedes no tienen **porque** no **piden** (= porque no pedir con respecto a ustedes)…

εἰς τὸ + infinitivo (a, para, para que, de modo que + verbo)

Ejemplo 9: **…**καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται **εἰς τὸ σταυρωθῆναι**.
...y el Hijo de hombre es entregado **para ser crucificado**.

ἐν τῷ + infinitivo (cuando, mientras de (que) + verbo*)*

Ejemplo 10: Ἐγένετο δὲ **ἐν τῷ εἶναι αὐτοὺς** ἐκεῖ ἐπλήσθησαν αἱ ἡμέραι...
Y sucedió que **mientras ellos estaban** (= mientras estar con respecto a ellos) allí los días se completaron…

μετὰ τὸ + infinitivo (después de (que) + verbo)

Ejemplo 11: Ἀλλὰ **μετὰ τὸ ἐγερθῆναί με** προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.
Pero **después de que yo sea levantado** (después de ser levantado con respecto a mí), iré ante ustedes a Galilea.

πρὸς τὸ + infinitivo (a, para, para que + verbo)

Ejemplo 12: Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσιν **πρὸς τὸ θεαθῆναι** τοῖς ἀνθρώποις·
Pero ellos hacen todas sus obras **para ser vistos** por hombres.

27.2 VERBOS OMEGA Y CONTRACTOS: PRESENTE Y AORISTO INFINITIVO (TODAS LAS VOCES)

Memorice las formas de λύω.

27.2.1 Formas del presente infinitivo

Voz	λύω	Traducción	ποιέω	ἀγαπάω	πληρόω
Activa	λύ**ειν**	desatar	ποι**εῖν**	ἀγαπ**ᾶν**	πληρ**οῦν**
Media/pasiva	λύ**εσθαι**	ser desatada	ποι**εῖσθε**	ἀγαπ**ᾶσθαι**	πληρ**οῦσθαι**

27.2.2 Formas del primer aoristo infinitivo

Voz	λύω	Traducción	ποιέω	ἀγαπάω	πληρόω
Activa	λύ**σαι**	desatar	ποιῆ**σαι**	ἀγαπῆ**σαι**	πληρῶ**σαι**
Media	λύ**σασθαι**	desatar	ποιή**σασθαι**	-	πληώ**σασθαι**
Pasiva	λυ**θῆναι**	ser desatado	ποιη**θῆναι**	ἀγαπη**θῆναι**	πληρω**θῆναι**

27.2.3 Formas del segundo aoristo infinitivo

Voz	λύω	ἔρχομαι	γίνομαι	βάλλω	Traducción
Activa	λύσαι	ἐλθ**εῖν**	-	-	venir
Media	λύσασθαι	-	γεν**έσθαι**	-	ser
Pasiva	λυθῆναι	-	-	βλη**θῆναι**	ser echado
Con formas del segundo aoristo, el verbo dado es la forma más común para la voz respectiva. Reconocer el cambio de tema es crucial para identificar las formas del segundo aoristo.					

27.3 VERBOS MI: PRESENTE Y AORISTO INFINITIVO (TODAS LAS VOCES)

27.3.1 Formas del presente infinitivo

Voz	λύω	εἰμί	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
Activa	λύειν	εἶ**ναι**	διδό**ναι**	ἱστά**νειν**	τιθέ**ναι**	ἀφιέ**ναι**
Media/pasiva	λύεσθαι	-	δίδο**σθαι**	ἵστα**σθαι**	τίθε**σθαι**	-

27.3.2 Formas del aoristo infinitivo

Voz	λυ-	εἰμί	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
Activa	λύσαι	-	δο**ῦναι**	στῆ**ναι**	θεῖ**ναι**	ἀφεῖ**ναι**
Media	λύσασθαι	-	-	-	θέ**σθαι**	-
Pasiva	λύθηναι	-	δο**θῆναι**	στα**θῆναι**	τε**θῆναι**	-

27.4 EJERCICIOS

Lea las siguientes oraciones en voz alta y luego tradúzcalas. Con los primeros 30 ejercicios, analice la palabra **en negrita**. Para los infinitivos, "analice" significa escribir el tiempo, voz, "infinitivo" en la posición de modo, y forma léxica.

1. Καὶ ἦν ἐκεῖ ἐν τῇ ἐρήμῳ ἡμέρας τεσσαράκοντα (cuarenta) πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, καὶ ἦν μετὰ τῶν θηρίων, καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ. Μετὰ δὲ τὸ **παραδοθῆναι** τὸν Ἰωάννην, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν, κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας τοῦ θεοῦ, καὶ λέγων ὅτι Πεπλήρωται ὁ καιρός, καὶ ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ· (ΚΑΤΑ ΜΑΡΚΟΝ 1:13-15)

2. Ἰδὼν δὲ ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν λέγει τῷ παραλυτικῷ (paralítico), Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου. Ἦσαν δέ τινες τῶν γραμματέων ἐκεῖ καθήμενοι, καὶ διαλογιζόμενοι (pensando) ἐν ταῖς καρδίαις αὐτῶν, Τί οὗτος οὕτως λαλεῖ βλασφημίας; Τίς δύναται **ἀφιέναι** ἁμαρτίας εἰ μὴ εἷς, ὁ θεός; Καὶ εὐθέως ἐπιγνοὺς ὁ Ἰησοῦς τῷ πνεύματι αὐτοῦ ὅτι οὕτως αὐτοὶ διαλογίζονται (pensaban) ἐν ἑαυτοῖς, εἶπεν αὐτοῖς, Τί ταῦτα διαλογίζεσθε (ustedes piensan) ἐν ταῖς καρδίαις ὑμῶν;

3. Καὶ αὐτὸς ἔλεγεν αὐτοῖς, Οὐδέποτε (acaso) ἀνέγνωτε τί ἐποίησεν Δαυίδ, ὅτε χρείαν ἔσχεν καὶ ἐπείνασεν (tenía hambre) αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; Πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ θεοῦ ἐπὶ Ἀβιάθαρ ἀρχιερέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως (proposición) ἔφαγεν, οὓς οὐκ ἔξεστιν **φαγεῖν** εἰ μὴ τοῖς ἱερεῦσιν, καὶ ἔδωκεν καὶ τοῖς σὺν αὐτῷ οὖσιν; Καὶ ἔλεγεν αὐτοῖς, Τὸ σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ σάββατον· ὥστε κύριός ἐστιν ὁ υἱὸς τοῦ ἀνθρώπου καὶ τοῦ σαββάτου. (ΚΑΤΑ ΜΑΡΚΟΝ 2:25-28)

4. Καὶ ἀναβαίνει εἰς τὸ ὄρος, καὶ προσκαλεῖται οὓς ἤθελεν αὐτός· καὶ ἀπῆλθον πρὸς αὐτόν. Καὶ ἐποίησεν δώδεκα, ἵνα ὦσιν μετ' αὐτοῦ, καὶ ἵνα ἀποστέλλῃ αὐτοὺς **κηρύσσειν**, καὶ ἔχειν ἐξουσίαν θεραπεύειν τὰς νόσους (enfermedades), καὶ ἐκβάλλειν τὰ δαιμόνια· καὶ ἐπέθηκεν τῷ Σίμωνι ὄνομα Πέτρον· καὶ Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν τοῦ Ἰακώβου· καὶ ἐπέθηκεν αὐτοῖς ὀνόματα Βοανεργές, ὅ ἐστιν, Υἱοὶ Βροντῆς (de trueno)· καὶ Ἀνδρέαν, καὶ Φίλιππον, καὶ Βαρθολομαῖον, καὶ Ματθαῖον, καὶ Θωμᾶν, καὶ Ἰάκωβον τὸν τοῦ Ἀλφαίου, καὶ Θαδδαῖον, καὶ Σίμωνα τὸν Κανανίτην, καὶ Ἰούδαν Ἰσκαριώτην, ὃς καὶ παρέδωκεν αὐτόν. Καὶ ἔρχονται εἰς οἶκον· καὶ συνέρχεται πάλιν ὄχλος, ὥστε μὴ δύνασθαι αὐτοὺς μήτε ἄρτον φαγεῖν.

5. Καὶ προσκαλεσάμενος αὐτούς, ἐν παραβολαῖς ἔλεγεν αὐτοῖς, Πῶς δύναται Σατανᾶς Σατανᾶν **ἐκβάλλειν**; Καὶ ἐὰν βασιλεία ἐφ' ἑαυτὴν μερισθῇ (está dividido), οὐ δύναται σταθῆναι ἡ βασιλεία ἐκείνη. Καὶ ἐὰν οἰκία ἐφ' ἑαυτὴν μερισθῇ (está dividida), οὐ δύναται σταθῆναι ἡ οἰκία ἐκείνη. (ΚΑΤΑ ΜΑΡΚΟΝ 3:23-25)

6. …ἰδού, ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι· καὶ ἐγένετο ἐν τῷ **σπείρειν**, ὃ μὲν ἔπεσεν παρὰ τὴν ὁδόν, καὶ ἦλθεν τὰ πετεινὰ (pájaros) καὶ κατέφαγεν (consumieron) αὐτό.

7. Ὁ δὲ Ἰησοῦς οὐκ ἀφῆκεν αὐτόν, ἀλλὰ λέγει αὐτῷ, Ὕπαγε (Vayan) εἰς τὸν οἶκόν σου πρὸς τοὺς σούς, καὶ ἀνάγγειλον (anuncien) αὐτοῖς ὅσα σοι ὁ κύριος **πεποίηκεν**, καὶ ἠλέησέν σε.

Καὶ ἀπῆλθεν καὶ ἤρξατο κηρύσσειν ἐν τῇ Δεκαπόλει ὅσα ἐποίησεν αὐτῷ ὁ Ἰησοῦς· καὶ πάντες ἐθαύμαζον. (ΚΑΤΑ ΜΑΡΚΟΝ 5:19-20)

8. Καὶ ἐξῆλθεν ἐκεῖθεν, καὶ ἦλθεν εἰς τὴν πατρίδα (patria) αὐτοῦ· καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ. Καὶ **γενομένου** σαββάτου, ἤρξατο ἐν τῇ συναγωγῇ διδάσκειν· καὶ πολλοὶ ἀκούοντες ἐξεπλήσσοντο (se maravillaban), λέγοντες, Πόθεν τούτῳ ταῦτα; Καὶ τίς ἡ σοφία ἡ δοθεῖσα αὐτῷ, καὶ δυνάμεις τοιαῦται διὰ τῶν χειρῶν αὐτοῦ γίνονται;

9. Καὶ προσκαλεῖται (él llama = él llamó) τοὺς δώδεκα, καὶ ἤρξατο αὐτοὺς **ἀποστέλλειν** δύο δύο, καὶ ἐδίδου αὐτοῖς ἐξουσίαν τῶν πνευμάτων τῶν ἀκαθάρτων. Καὶ παρήγγειλεν αὐτοῖς ἵνα μηδὲν αἴρωσιν εἰς ὁδόν… (ΚΑΤΑ ΜΑΡΚΟΝ 6:7-8)

10. Ἔλεγεν γὰρ ὁ Ἰωάννης τῷ Ἡρῴδῃ ὅτι Οὐκ ἔξεστίν σοι ἔχειν τὴν **γυναῖκα** τοῦ ἀδελφοῦ σου. Ἡ δὲ Ἡρῳδιὰς ἐνεῖχεν (tenía rencor) αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο·

11. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Δότε (Den) αὐτοῖς ὑμεῖς **φαγεῖν**. (ΚΑΤΑ ΜΑΡΚΟΝ 6:37)

12. Καὶ **ἐξῆλθεν** ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς τὰς κώμας (regiones) Καισαρείας τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς, Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; Οἱ δὲ ἀπεκρίθησαν, Ἰωάννην τὸν βαπτιστήν· καὶ ἄλλοι Ἠλίαν, ἄλλοι δὲ ἕνα τῶν προφητῶν. Καὶ αὐτὸς λέγει αὐτοῖς, Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ ὁ Πέτρος λέγει αὐτῷ, Σὺ εἶ ὁ Χριστός. Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέγωσιν περὶ αὐτοῦ. Καὶ ἤρξατο διδάσκειν αὐτούς, ὅτι δεῖ τὸν υἱὸν τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι (ser juzgado) ἀπὸ τῶν πρεσβυτέρων καὶ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας ἀναστῆναι·

13. Καὶ **ὤφθη** αὐτοῖς Ἠλίας σὺν ⌜ Μωσῇ, ⌝ καὶ ἦσαν συλλαλοῦντες (hablando con) τῷ Ἰησοῦ. Καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ, Ῥαββί, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς (tabernáculos) τρεῖς, σοὶ μίαν, καὶ ⌜ Μωσῇ ⌝ μίαν, καὶ Ἠλίᾳ μίαν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 9:4-5)

14. Καὶ προσελθόντες ⌜ Φαρισαῖοι ⌝ **ἐπηρώτησαν** αὐτόν, Εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι, πειράζοντες αὐτόν.

15. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐκ οἴδατε τί **αἰτεῖσθε**. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; Οἱ δὲ εἶπον αὐτῷ, Δυνάμεθα. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, Τὸ μὲν ποτήριον ὃ ἐγὼ πίνω πίεσθε· καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε· τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων (izquierda) οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται. (ΚΑΤΑ ΜΑΡΚΟΝ 10:38-40)

16. Καὶ ἔρχονται Σαδδουκαῖοι (saduceos) πρὸς αὐτόν, οἵτινες λέγουσιν **ἀνάστασιν** μὴ εἶναι· καὶ ἐπηρώτησαν αὐτόν, λέγοντες, Διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν, ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ, καὶ καταλίπῃ (deja) γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ…

17. Καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς, Καλῶς, διδάσκαλε, ἐπ' ἀληθείας εἶπας ὅτι εἷς ἐστιν, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ· καὶ τὸ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης τῆς **καρδίας**, καὶ ἐξ ὅλης τῆς

συνέσεως (mente), καὶ ἐξ ὅλης τῆς ψυχῆς, καὶ ἐξ ὅλης τῆς ἰσχύος (fuerza)… (ΚΑΤΑ ΜΑΡΚΟΝ 12:32-33)

18. Καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον **κηρυχθῆναι** τὸ εὐαγγέλιον. Ὅταν δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε (se preocupen por) τί λαλήσητε, μηδὲ μελετᾶτε (mediten)· ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε· οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον·

19. Ἀλλὰ μετὰ τὸ **ἐγερθῆναί** με, προάξω (iré delante de) ὑμᾶς εἰς τὴν Γαλιλαίαν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 14:28)

20. Καὶ ἐπηρώτησεν αὐτὸν ὁ Πιλάτος, Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ, Σὺ λέγεις. Καὶ κατηγόρουν (acusaban) αὐτοῦ οἱ ἀρχιερεῖς πολλά· ὁ δὲ Πιλάτος πάλιν ἐπηρώτησεν αὐτόν, λέγων, Οὐκ ἀποκρίνῃ οὐδέν; Ἴδε, πόσα (cuántas cosas) σου καταμαρτυροῦσιν (ellos … acusan). Ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε **θαυμάζειν** τὸν Πιλάτον.

21. Ἐγένετο ἄνθρωπος **ἀπεσταλμένος** παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης. Οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι' αὐτοῦ. Οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει (alumbra) πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. Εἰς τὰ ἴδια ἦλθεν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. Ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ· οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκός, οὐδὲ ἐκ θελήματος ἀνδρός, ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:6-13)

22. Αὐτὸς δὲ ὁ Ἰησοῦς οὐκ ἐπίστευεν ἑαυτὸν αὐτοῖς, διὰ τὸ αὐτὸν **γινώσκειν** πάντας, καὶ ὅτι οὐ χρείαν εἶχεν ἵνα τις μαρτυρήσῃ περὶ τοῦ ἀνθρώπου· αὐτὸς γὰρ ἐγίνωσκεν τί ἦν ἐν τῷ ἀνθρώπῳ. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος (Nicodemo) ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων· οὗτος ἦλθεν πρὸς ⌜αὐτὸν⌝ νυκτός, καὶ εἶπεν αὐτῷ, Ῥαββί, οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ.

23. Ἀπεκρίθη Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ πνεύματος, οὐ δύναται **εἰσελθεῖν** εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν· καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν. Μὴ θαυμάσῃς ὅτι εἶπόν σοι, Δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:5-7)

24. Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν, Οὐ δύναται ἄνθρωπος **λαμβάνειν** οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ὅτι εἶπον, Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός, ἀλλ' ὅτι Ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου.

25. Ὑμεῖς προσκυνεῖτε ὃ οὐκ οἴδατε· ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστίν. Ἀλλ' ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οἱ ἀληθινοὶ (verdaderos) προσκυνηταὶ (adoradores) προσκυνήσουσιν τῷ πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ· καὶ γὰρ ὁ πατὴρ

τοιούτους ζητεῖ τοὺς προσκυνοῦντας αὐτόν. πνεῦμα ὁ θεός· καὶ τοὺς προσκυνοῦντας αὐτόν, ἐν πνεύματι καὶ ἀληθείᾳ δεῖ **προσκυνεῖν**. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:22-24)

26. Ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι ἔρχεται **ὥρα** καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ υἱοῦ τοῦ θεοῦ, καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκεν καὶ τῷ υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ καὶ κρίσιν ποιεῖν, ὅτι υἱὸς ἀνθρώπου ἐστίν. Μὴ θαυμάζετε τοῦτο· ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται, οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς·

27. καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν **ἔχητε**. Δόξαν παρὰ ἀνθρώπων οὐ λαμβάνω· ἀλλ' ἔγνωκα ὑμᾶς, ὅτι τὴν ἀγάπην τοῦ θεοῦ οὐκ ἔχετε ἐν ἑαυτοῖς. Ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε; Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω (acuso) ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν (el que acusa) ὑμῶν, Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε (han tenido esperanza). Εἰ γὰρ ἐπιστεύετε ⌜Μωσῇ, ⌝ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:40-46)

28. Οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, καθώς ἐστιν γεγραμμένον, Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδωκεν αὐτοῖς **φαγεῖν**. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ Μωσῆς δέδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν. Ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστιν ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Εἶπον οὖν πρὸς αὐτόν, Κύριε, πάντοτε δὸς (da) ἡμῖν τὸν ἄρτον τοῦτον. Εἶπεν δὲ αὐτοῖς ὁ Ἰησοῦς, Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός με οὐ μὴ πεινάσῃ (nunca jamás tendrás hambre)·

29. Οἶδα ὅτι σπέρμα Ἀβραάμ ἐστε· ἀλλὰ ζητεῖτέ με ἀποκτεῖναι, ὅτι ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ (mora) ἐν ὑμῖν. Ἐγὼ ὃ ἑώρακα παρὰ τῷ πατρί μου, λαλῶ· καὶ ὑμεῖς οὖν ὃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν, ποιεῖτε. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ Ἀβραὰμ ⌜ἐποιεῖτε. ⌝ Νῦν δὲ ζητεῖτέ με **ἀποκτεῖναι**, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. Ὑμεῖς ποιεῖτε τὰ ἔργα τοῦ πατρὸς ὑμῶν. Εἶπον οὖν αὐτῷ, Ἡμεῖς ἐκ πορνείας (fornicación) οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν, τὸν θεόν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:37-41)

30. Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον ὃς ἦν τυφλός, καὶ εἶπον αὐτῷ, Δὸς (Da) δόξαν τῷ θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. Ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν, Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὤν, ἄρτι βλέπω. Εἶπον δὲ αὐτῷ πάλιν, Τί ἐποίησέν σοι; Πῶς ἤνοιξέν σου τοὺς ὀφθαλμούς; Ἀπεκρίθη αὐτοῖς, Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε. Τί πάλιν θέλετε **ἀκούειν**; Μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι;

31. Διὰ τοῦτο ὁ πατήρ με ἀγαπᾷ, ὅτι ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτὴν ἀπ' ἐμαυτοῦ. Ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ

ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 10:17-18)

32. Ἀπ' ἄρτι λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα, ὅταν γένηται, πιστεύσητε ὅτι ἐγώ εἰμι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, Ὁ λαμβάνων ἐάν τινα πέμψω, ἐμὲ λαμβάνει· ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν πέμψαντά με.

33. Ἠκούσατε ὅτι ἐγὼ εἶπον ὑμῖν, Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. Εἰ ἠγαπᾶτέ με, ἐχάρητε ἄν ὅτι εἶπον, Πορεύομαι πρὸς τὸν πατέρα· ὅτι ὁ πατήρ μου μείζων (mayor) μού ἐστιν. Καὶ νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι· ἵνα, ὅταν γένηται, πιστεύσητε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:28-29)

34. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι, Ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν υἱὸν θεοῦ ἐποίησεν. Ὅτε οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλλον ἐφοβήθη…

35. Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν… (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 1:1)

36. Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπεν (dijo de antemano) τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαυὶδ…

37. Καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· οὔτε γὰρ ὄνομά ἐστιν ⌜ ἕτερον ⌝ τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 4:12)

38. …μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκισεν (él … trasladó) αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε·

39. …πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ θεοῦ. (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 13:44)

40. Ἀλλὰ διὰ τῆς χάριτος τοῦ κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι, καθ' ὃν τρόπον κἀκεῖνοι.

41. Τὸν Χριστὸν ἔδει παθεῖν καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι Οὗτός ἐστιν ὁ Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω (proclamo) ὑμῖν. (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 17:3)

42. Ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι (residentes), τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ.

43. Σαδδουκαῖοι (saduceos) μὲν γὰρ λέγουσιν μὴ εἶναι ἀνάστασιν, μηδὲ ἄγγελον, μήτε πνεῦμα· (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 23:8)

44. Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον, χωρὶς ἔργων νόμου. Ἢ Ἰουδαίων ὁ θεὸς μόνον; Οὐχὶ δὲ καὶ ἐθνῶν; Ναὶ καὶ ἐθνῶν·

45. Τί οὖν ἐροῦμεν Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα; (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 4:1)

46. καὶ σημεῖον ἔλαβεν περιτομῆς, σφραγῖδα (sello) τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ (mientras era incircunciso)· εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων

δι' ἀκροβυστίας (mientras eran incircuncisos), εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην·

47. καθὼς γέγραπται ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε – κατέναντι (delante de) οὗ ἐπίστευσεν θεοῦ, τοῦ ζωοποιοῦντος (que hace vivir) τοὺς νεκρούς, καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα. Ὃς παρ' ἐλπίδα ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον, Οὕτως ἔσται τὸ σπέρμα σου. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 4:17-18)

48. Οὕτως καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν…

49. Ὁ δὲ θεὸς τῆς ἐλπίδος πληρώσαι (llene) ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης ἐν τῷ πιστεύειν, εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι, ἐν δυνάμει πνεύματος ἁγίου. (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 15:13)

50. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον.

51. Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 11:22)

52. καὶ οὐδεὶς δύναται εἰπεῖν, Κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ.

53. Οὐ δύναται δὲ ὁ ὀφθαλμὸς εἰπεῖν τῇ χειρί, Χρείαν σου οὐκ ἔχω· ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσίν, Χρείαν ὑμῶν οὐκ ἔχω. (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 12:21)

54. Καὶ ἔγραψα ὑμῖν τοῦτο αὐτό, ἵνα μὴ ἐλθὼν λύπην (tristeza) ἔχω ἀφ' ὧν ἔδει με χαίρειν, πεποιθὼς ἐπὶ πάντας ὑμᾶς, ὅτι ἡ ἐμὴ χαρὰ πάντων ὑμῶν ἐστίν.

55. Οὕτως ὀφείλουσιν οἱ ἄνδρες ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας ὡς τὰ ἑαυτῶν σώματα. Ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ· (ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ 5:28)

56. Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με;

57. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν, Μετανοεῖτε (Arrepiéntanse)· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 4:17)

58. Ἔλεον θέλω, καὶ οὐ θυσίαν· οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν (arrepentimiento).

59. …προσῆλθον αὐτῷ οἱ τυφλοί, καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; Λέγουσιν αὐτῷ, Ναί, κύριε. Τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων, Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω (sea) ὑμῖν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 9:28-29)

60. Μὴ νομίσητε (piensen) ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν (espada).

61. Ἐλθὼν δὲ ὁ Ἰησοῦς εἰς τὰ μέρη Καισαρείας (Cesarea) τῆς Φιλίππου (Felipe) ἠρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων, Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν υἱὸν τοῦ ἀνθρώπου; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 16:13)

62. Ἀπὸ τότε ἤρξατο ὁ Ἰησοῦς δεικνύειν τοῖς μαθηταῖς αὐτοῦ ὅτι δεῖ αὐτὸν ἀπελθεῖν εἰς Ἱεροσόλυμα, καὶ πολλὰ παθεῖν ἀπὸ τῶν πρεσβυτέρων καὶ ἀρχιερέων καὶ γραμματέων, καὶ ἀποκτανθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐγερθῆναι.

63. καὶ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος ἔστω (sea) ὑμῶν δοῦλος· ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον (redención) ἀντὶ πολλῶν. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 20:27-28)

64. Οἴδατε ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα (Pascua) γίνεται, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.

65. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς … μετὰ τῶν γραμματέων καὶ πρεσβυτέρων καὶ Φαρισαίων ἔλεγον, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ βασιλεὺς Ἰσραήλ ἐστιν, καταβάτω (descienda él) νῦν ἀπὸ τοῦ σταυροῦ (cruz), καὶ πιστεύσομεν ἐπ' αὐτῷ. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 27:41-42)

27.5 VOCABULARIO

Verbos

1. **ἁγιάζω** santifico Mateo 6:9
   Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, **ἁγιασθήτω** τὸ ὄνομά σου·
   Nuestro Padre que está en los cielos, su nombre **sea santificado**.

2. **γαμέω** me caso 1 Co 7:39
   ἐλευθέρα ἐστὶν ᾧ θέλει **γαμηθῆναι**, μόνον ἐν κυρίῳ.
   ella está libre de **casarse** con quien quiera, solo en el Señor.

3. **προσκαλέομαι** llamo, invoco Santiago 5:14
   Ἀσθενεῖ τις ἐν ὑμῖν; **Προσκαλεσάσθω** τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας
   ¿Quién entre ustedes está enfermo? Que **llame** a los ancianos de la iglesia

4. **προφητεύω** profetizo Mateo 15:7
   ὑποκριταί, καλῶς **προεφήτευσεν** περὶ ὑμῶν Ἠσαΐας
   hipócritas, Isaías **profetizó** bien acerca de ustedes

5. **τελέω** termino 2 Ti 4:7
   Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον **τετέλεκα**, τὴν πίστιν τετήρηκα·
   He peleado la buena batalla; **he terminado** la carrera; he guardado la fe.

Sustantivos

6. **ἡ ἀδελφή**, ῆς hermana Hechos 23:16
   ὁ υἱὸς τῆς **ἀδελφῆς** Παύλου
   el hijo de la **hermana** de Pablo

7. **ἡ μάχαιρα**, ης espada Mateo 10:34
   οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ **μάχαιραν**.
   Yo no vine a traer paz sino una **espada**.

8. **ὁ μισθός**, οῦ pago, recompensa, salario Lucas 10:7
   ἄξιος γὰρ ὁ ἐργάτης τοῦ **μισθοῦ** αὐτοῦ ἐστίν.
   porque el trabajador es digno de su **salario**.

9. **τὸ μυστήριον**, ου misterio Mateo 13:11
   Ὑμῖν δέδοται γνῶναι τὰ **μυστήρια** τῆς βασιλείας τῶν οὐρανῶν
   A ustedes ha sido dado saber los **misterios** del reino de los cielos

10. **τὸ πάσχα** Pascua Hebreos 11:28
    Πίστει πεποίηκεν τὸ **Πάσχα**
    Por fe él ha guardado la **Pascua**

Adjetivos

11. **πλούσιος, α, ον** rico(a) Lucas 19:2
    Ζακχαῖος, καὶ αὐτὸς ἦν ἀρχιτελώνης, καὶ οὗτος ἦν **πλούσιος**.
    Zaqueo, y era un jefe de los cobradores de impuestos, y él era **rico**.

12. **φίλος, η, ον** amoroso(a); *como sust:* amigo Juan 11:11
    Λάζαρος ὁ **φίλος** ἡμῶν κεκοίμηται·
    Lázaro, nuestro **amigo**, se ha dormido.

Conjunción

13. **πόθεν** de dónde, de donde Ap 2:5
    Μνημόνευε οὖν **πόθεν** ⌜ πέπτωκας ⌝
    Recuerda, entonces, **de donde** has caído

Adverbio

14. **οὔπω** aún no, todavía no 1 Juan 3:2
    οὔπω ἐφανερώθη τί ἐσόμεθα·
    todavía no ha sido revelado qué seremos.

Partícula

15. **ποτέ** alguna vez, una vez Lucas 22:32
    σύ **ποτε** ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου.
    tú, **una vez** que hayas regresado, fortalece tus hermanos.

28 IMPERATIVOS

28.1 GRAMÁTICA

28.1.1 Introducción a los imperativos

Un imperativo es una forma verbal que comunica un mandamiento como “camina”, “corre”, “salta” o una exhortación como “caminemos”, “corramos”, “saltemos”. En griego, los imperativos cuentan con tiempo, voz, persona, y número.

28.1.2 Tiempo

Los imperativos cuentan con distintas formas que comunican tiempo. Los posibles tiempos para imperativo son presente, aoristo, y perfecto. Solo las formas del presente y aoristo aparecen con suficiente frecuencia que justifica su presencia aquí.

Los diferentes tiempos comunican cómo la acción es presentada por el hablante/escritor. El siguiente cuadro presenta los tiempos y una descripción correspondiente.

Tiempo	Cómo la acción se presenta
Presente	En progreso o en curso
Aoristo	De forma resumida

Para los imperativos, el tiempo no comunica el tiempo cronológico de la acción. Esto contrasta con el modo indicativo y con participios donde el tiempo puede comunicar el tiempo cronológico absoluto o relativo al verbo central, respectivamente.

Por último, estas descripciones son básicas. Algunos factores influyen la selección del autor en un contexto específico. A veces el autor realmente no tiene “una elección”. Por consiguiente, puede ser difícil saber, sobre todo con infinitivos e imperativos, la fuerza específica del tiempo en un contexto particular. Le animamos a que no enfatice demasiado o llegue a muchas conclusiones con respecto al tiempo de un infinitivo o imperativo hasta que tenga mejor entendimiento del idioma. Aún así, el asunto puede ser difícil de determinar.

28.1.3 Voz

Los imperativos cuentan con distintas formas que comunican voz (activa, media, pasiva). Con la voz activa, el sujeto gramatical del imperativo realiza la acción del imperativo. Con la voz pasiva, el sujeto del infinitivo recibe la acción. La voz media a menudo se traduce con la voz activa.

28.1.4 Modo

El imperativo es técnicamente un modo. Su uso principal es comunicar un mandamiento o exhortación.

28.1.5 Persona y número

Los imperativos cuentan con distintas formas que comunican persona (solo segunda o tercera) y número (singular y plural).

28.1.6 Un vistazo de las partes del imperativo

λύε

λυ — **Tema presente**

ε — **Terminación del activo imperativo (2s)**

Raíz: **λυ***

28.1.7 Tema

Los imperativos utilizan los mismos temas que el indicativo. Si es necesario, repase el tema.

28.1.8 Terminaciones del imperativo

Aunque se pueden dividir las terminaciones del imperativo en sus varias partes (vocal conectiva, señal temporal, desinencia), es más sencillo aprenderlas de forma combinada.

P/N	Presente	Primer aoristo
Activa		
2s	ε	σον
2p	ετε	σατε
3s	ετω	σατω
3p	ετωσαν	σατωσαν
Media		
2s	ου	σαι
2p	εσθε	σασθε
3s	εσθω	σασθω
3p	εσθσαν	σασθωσαν
Pasiva		
2s	ου	θητι
2p	εσθε	θητε
3s	εσθω	θητω
3p	εσθσαν	θητωσαν

El segundo aoristo imperativo utiliza las terminaciones del presente que se dan en el cuadro de arriba. Los verbos líquidos solo utilizan alfa (α) como la señal temporal del aoristo imperativo, no sigma (σ) ni sigma-alfa (σα).

28.1.9 Ejemplos del imperativo

Ejemplo 1: **Ἔγειρε** καὶ **περιπάτει**.
Levántate y **camina**.

Ejemplo 2: Κύριε, **σῶσόν** με.
Señor, **sálvame**.

Ejemplo 3: **Ποιήσατε** οὖν καρπὸν ἄξιον τῆς μετανοίας.
Por lo tanto, **produzcan** fruto digno de arrepentimiento.

Ejemplo 4: **Γρηγορεῖτε** καὶ **προσεύχεσθε**, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν.
Estén atentos y **oren** para que no entren en tentación.

Ejemplo 5: **Ἐλθέτω** ἡ βασιλεία σου·
Que venga tu reino.

Ejemplo 6: **Ἔστω** δὲ πᾶς ἄνθρωπος ταχὺς εἰς τὸ ἀκοῦσαι, βραδὺς εἰς τὸ λαλῆσαι, βραδὺς εἰς ὀργήν·
pero que cada hombre **sea** rápido para escuchar, lento para hablar y lento para la ira.

Ejemplo 7: Καὶ **προσκυνησάτωσαν** αὐτῷ πάντες ἄγγελοι θεοῦ.
Y que los ángeles de Dios lo **alaben**.

28.2 VERBOS OMEGA Y CONTRACTOS: IMPERATIVOS

Memorice las formas del presente y aoristo imperativo de λύω.

28.2.1 Formas del presente imperativo

P/N	Forma	Traducción	ποιέω	ἀγαπάω	πληρόω
Activa					
2s	λύ**ε**	desata/desate	ποί**ει**	ἀγάπ**α**	πλήρ**ου**
3s	λυ**έτω**	que desata/desate	ποι**είτω**	ἀγαπ**άτω**	-
2p	λύ**ετε**	desaten	ποι**εῖτε**	ἀγαπ**ᾶτε**	πληρ**οῦτε**
3p	λυ**έτωσαν**	que desaten	ποι**είτωσαν**	ἀγαπ**άτωσαν**	-
Media/Pasiva					
2s	λύ**ου**	sé desatado	No son muy comunes.[1]		
3s	λυ**έσθω**	que sea desatado			
2p	λύ**εσθε**	sean desatados			
3p	λυ**έσθσαν**	que sean desatados			

28.2.2 Formas del primer aoristo imperativo

P/N	Forma	Traducción	ποιέω	ἀγαπάω	πληρόω
Activa					
2s	λύ**σον**	desata/desate	ποίη**σον**	ἀπάγη**σον**	πλήρω**σον**
3s	λυ**σάτω**	que desata/desate	ποιη**σάτω**	-	-
2p	λύ**σατε**	desaten	ποιή**σατε**	ἀγαπή**σατε**	πληρώ**σατε**
3p	λυ**σάτωσαν**	que desaten	ποιη**σάτωσαν**	-	-
Media					
2s	λύ**σαι**	desata/desate	No son muy comunes.		
3s	λυ**σάσθω**	que desata/desate			
2p	λύ**σασθε**	desaten			
3p	λυ**σάσθωσαν**	que desaten			
Pasiva					
2s	λύ**θητι**	sé desatado	No son muy comunes.		
3s	λυ**θήτω**	que sea desatado			
2p	λύ**θητε**	sean desatados			
3p	λυ**θήτωσαν**	que sean desatados			

[1] La excepción principal es φοβέομαι, cuyas formas del imperativo de la segunda persona singular y plural son φοβοῦ y φοβεῖσθε, respectivamente. Muchas veces aparecen con μή (i.e. no tengas miendo, no tengan miedo).

28.2.3 Formas del segundo aoristo imperativo

P/N	Forma	Traducción
Activa		
2s	λάβ**ε**	toma/tome
3s	λαβ**έτω**	que tome
2p	λάβ**ετε**	tomen
3p	-	-

28.3 VERBOS MI: IMPERATIVOS (VOZ ACTIVA)

Solo las formas activas aparecen en el Nuevo Testamento con la frecuencia que justifica su inclusión aquí. En general, no es necesario memorizar estas formas.

28.3.1 Formas del presente activo imperativo

Con la excepción de εἰμί, las formas del presente imperativo de verbos mi no son muy comunes.[2]

P/N	λύω	εἰμί
Activa		
2s	λύε	ἴσ**θι**
3s	λυέτω	ἔσ**τω**
2p	λύετε	-
3p	λυέτωσαν	ἔσ**τωσαν**

28.3.2 Formas del aoristo activo imperativo

De los verbos mi que aparecen en el aoristo imperativo, δίδωμι y ἀφίημι son los más comunes. Priorice su tiempo de estudio como consecuencia. También, observe que solo la raíz (no la duplicación con iota) está presente.

P/N	Forma léxica (Utiliza tema presente)				
	λύω	δίδωμι	ἵστημι	τίθημι	ἀφίημι
	Tema aoristo				
	λυ*	δο-	στα-	θε-	ἀπο+ἐ-
Activa					
2s	λύσον	δό**ς**	στῆ**θι**	θέ**ς**	ἄφε**ς**
3s	λυσάτω	δό**τω**	στή**τω**	-	-
2p	λύσατε	δό**τε**	στῆ**τε**	-	ἄφε**τε**
3p	λυσάτωσαν	-	-	-	-

[2] Las formas el presente imperativo de verbos mi que aparecen en el Nuevo Testamento son fáciles de identificar por el contexto y la duplicación con iota.

28.4 EJERCICIOS

Lea las siguientes oraciones en voz alta y luego tradúzcalas. Con los primeros 30 ejercicios, analice la palabra **en negritas**.

1. **Ποιήσατε** οὖν καρποὺς ἀξίους τῆς μετανοίας (arrepentimiento)· καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. (ΚΑΤΑ ΛΟΥΚΑΝ 3:8)

2. Καὶ εἶπεν αὐτῷ ὁ διάβολος, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, **εἰπὲ** τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος. Καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτόν, λέγων, Γέγραπται ὅτι Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ⌜ ἄνθρωπος, ⌝ ἀλλ' ἐπὶ παντὶ ῥήματι θεοῦ.

3. Ἰδὼν δὲ Σίμων Πέτρος προσέπεσεν (se prostró) τοῖς γόνασιν (rodillas) Ἰησοῦ, λέγων, **Ἔξελθε** ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι, κύριε. (ΚΑΤΑ ΛΟΥΚΑΝ 5:8)

4. Καὶ ἐκτείνας (y después de extender) τὴν χεῖρα ἥψατο αὐτοῦ, εἰπών, Θέλω, **καθαρίσθητι**. Καὶ εὐθέως ἡ λέπρα (lepra) ἀπῆλθεν ἀπ' αὐτοῦ. Καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν· ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ σου…

5. Τί ἐστιν εὐκοπώτερον (más fácil), εἰπεῖν, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου, ἢ εἰπεῖν, Ἔγειραι καὶ **περιπάτει**; Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας - εἶπεν τῷ παραλελυμένῳ (paralítico) - Σοὶ λέγω, ἔγειραι… (ΚΑΤΑ ΛΟΥΚΑΝ 5:23-24)

6. ⌜ Ἀλλ' ⌝ ὑμῖν λέγω **τοῖς ἀκούουσιν**, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, εὐλογεῖτε τοὺς καταρωμένους (los que maldicen) ὑμῖν, προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων (los que insultan) ὑμᾶς.

7. Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος (bajo autoridad), **ἔχων** ὑπ' ἐμαυτὸν στρατιώτας (soldados), καὶ λέγω τούτῳ, Πορεύθητι, καὶ πορεύεται· καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ. Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς ἐθαύμασεν αὐτόν, καὶ στραφεὶς τῷ ἀκολουθοῦντι αὐτῷ ὄχλῳ εἶπεν, Λέγω ὑμῖν, ⌜ οὔτε ⌝ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. (ΚΑΤΑ ΛΟΥΚΑΝ 7:8-9)

8. Οὗ χάριν, λέγω σοι, **ἀφέωνται** αἱ ἁμαρτίαι αὐτῆς αἱ πολλαί, ὅτι ἠγάπησεν πολύ· ᾧ δὲ ὀλίγον ἀφίεται, ὀλίγον ἀγαπᾷ. Εἶπεν δὲ αὐτῇ, Ἀφέωνταί σου αἱ ἁμαρτίαι. Καὶ ἤρξαντο οἱ συνανακείμενοι (los que estaban sentados con él) λέγειν ἐν ἑαυτοῖς, Τίς οὗτός ἐστιν ὃς καὶ ἁμαρτίας ἀφίησιν; Εἶπεν δὲ πρὸς τὴν γυναῖκα, Ἡ πίστις σου σέσωκέν σε· πορεύου εἰς εἰρήνην.

9. Βλέπετε οὖν πῶς ἀκούετε· ὃς γὰρ ἐὰν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς ἐὰν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ **ἔχειν** ἀρθήσεται ἀπ' αὐτοῦ. Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ μήτηρ καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν (ascercarse) αὐτῷ διὰ τὸν ὄχλον. (ΚΑΤΑ ΛΟΥΚΑΝ 8:18-19)

10. Ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ, λέγων, Μὴ φοβοῦ. Μόνον **πίστευε**, καὶ σωθήσεται. Ἐλθὼν δὲ εἰς τὴν οἰκίαν, οὐκ ἀφῆκεν εἰσελθεῖν οὐδένα, εἰ μὴ Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, καὶ τὸν πατέρα τῆς παιδὸς (la niña) καὶ τὴν μητέρα.

11. Πάντων δὲ **θαυμαζόντων** ἐπὶ πᾶσιν οἷς ἐποίησεν ὁ Ἰησοῦς, εἶπεν πρὸς τοὺς μαθητὰς αὐτοῦ, Θέσθε ὑμεῖς εἰς τὰ ὦτα ὑμῶν τοὺς λόγους τούτους· ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου μέλλει παραδίδοσθαι εἰς χεῖρας ἀνθρώπων. (ΚΑΤΑ ΛΟΥΚΑΝ 9:43-44)

12. Καὶ ἐγένετο ἐν τῷ **εἶναι** αὐτὸν ἐν τόπῳ τινὶ προσευχόμενον, ὡς ἐπαύσατο (él paró), εἶπέν τις τῶν μαθητῶν αὐτοῦ πρὸς αὐτόν, Κύριε, δίδαξον ἡμᾶς προσεύχεσθαι, καθὼς καὶ Ἰωάννης ἐδίδαξεν τοὺς μαθητὰς αὐτοῦ. Εἶπεν δὲ αὐτοῖς, Ὅταν προσεύχησθε, λέγετε, Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοις, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῳ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον (diario) δίδου ἡμῖν τὸ καθ' ἡμέραν. Καὶ ἄφες ἡμῖν τὰς ἁμαρτίας ἡμῶν, καὶ γὰρ αὐτοὶ ἀφίεμεν παντὶ ὀφείλοντι ἡμῖν.

13. Κἀγὼ ὑμῖν λέγω, **αἰτεῖτε**, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε (toquen), καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει· καὶ ὁ ζητῶν εὑρίσκει· καὶ τῷ κρούοντι (al que toca) ἀνοιγήσεται. (ΚΑΤΑ ΛΟΥΚΑΝ 11:9-10)

14. Ἐν αὐτῇ τῇ ἡμέρα **προσῆλθόν** τινες Φαρισαῖοι, λέγοντες αὐτῷ, Ἔξελθε καὶ πορεύου ἐντεῦθεν (de aquí), ὅτι Ἡρῴδης θέλει σε ἀποκτεῖναι.

15. Καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν Ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταὶ αὐτοῦ. Γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς, **Προσεύχεσθε** μὴ εἰσελθεῖν εἰς πειρασμόν (tentación). (ΚΑΤΑ ΛΟΥΚΑΝ 22:39-40)

16. …καὶ οἱ ἄρχοντες σὺν αὐτοῖς, λέγοντες, Ἄλλους ἔσωσεν, **σωσάτω** ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ Χριστός, ὁ τοῦ θεοῦ ἐκλεκτός (elegido).

17. Εἰ σὺ εἶ ὁ Χριστός, σῶσον σεαυτὸν καὶ ἡμᾶς. Ἀποκριθεὶς δὲ ὁ ἕτερος **ἐπετίμα** αὐτῷ, λέγων, Οὐδὲ φοβῇ σὺ τὸν θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματι εἶ; (ΚΑΤΑ ΛΟΥΚΑΝ 23:39-40)

18. Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτῇ, Εἰ ᾔδεις (conocieras) τὴν δωρεὰν (don) τοῦ θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, **Δός** μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν.

19. Λέγει πρὸς αὐτὸν ἡ γυνή, **Κύριε**, δός μοι τοῦτο τὸ ὕδωρ… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:15)

20. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Ὕπαγε, **φώνησον** τὸν ἄνδρα σοῦ, καὶ ἐλθὲ ἐνθάδε (aquí). Ἀπεκρίθη ἡ γυνὴ καὶ εἶπεν, Οὐκ ἔχω ἄνδρα. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Καλῶς εἶπας ὅτι Ἄνδρα οὐκ ἔχω· πέντε γὰρ ἄνδρας ἔσχες, καὶ νῦν ὃν ἔχεις οὐκ ἔστιν σου ἀνήρ· τοῦτο ἀληθὲς (de verdad) εἴρηκας. Λέγει αὐτῷ ἡ γυνή, Κύριε, θεωρῶ ὅτι προφήτης εἶ σύ. Οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν· καὶ ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστὶν ὁ τόπος ὅπου δεῖ προσκυνεῖν. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Γύναι, πίστευσόν μοι, ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ πατρί.

21. Λέγει αὐτῷ ὁ Ἰησοῦς, Πορεύου· ὁ υἱός σου ζῇ. Καὶ **ἐπίστευσεν** ὁ ἄνθρωπος τῷ λόγῳ ᾧ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, καὶ ἐπορεύετο. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 4:50)

22. Ἐφώνησαν οὖν ἐκ δευτέρου τὸν ἄνθρωπον ὃς ἦν τυφλός, καὶ εἶπον αὐτῷ, **Δὸς** δόξαν τῷ θεῷ· ἡμεῖς οἴδαμεν ὅτι ὁ ἄνθρωπος οὗτος ἁμαρτωλός ἐστιν. Ἀπεκρίθη οὖν ἐκεῖνος καὶ εἶπεν, Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι τυφλὸς ὤν, ἄρτι βλέπω. Εἶπον δὲ αὐτῷ πάλιν, Τί ἐποίησέν σοι; Πῶς ἤνοιξέν σου τοὺς ὀφθαλμούς; Ἀπεκρίθη αὐτοῖς, Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκούσατε. Τί πάλιν θέλετε ἀκούειν; Μὴ καὶ ὑμεῖς θέλετε αὐτοῦ μαθηταὶ γενέσθαι;

23. Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ **πιστεύετέ** μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε· ἵνα γνῶτε καὶ πιστεύσητε ὅτι ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ ἐν αὐτῷ. Ἐζήτουν ⌜ οὖν ⌝ πάλιν αὐτὸν πιάσαι (prender)· καὶ ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν. Καὶ ἀπῆλθεν πάλιν πέραν τοῦ Ἰορδάνου εἰς τὸν τόπον ὅπου ἦν Ἰωάννης τὸ πρῶτον βαπτίζων· καὶ ἔμεινεν ἐκεῖ. Καὶ πολλοὶ ἦλθον πρὸς αὐτόν, καὶ ἔλεγον ὅτι Ἰωάννης μὲν σημεῖον ἐποίησεν οὐδέν· πάντα δὲ ὅσα εἶπεν Ἰωάννης περὶ τούτου, ἀληθῆ (verdadero) ἦν. Καὶ ἐπίστευσαν πολλοὶ ἐκεῖ εἰς αὐτόν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 10:37-42)

24. καὶ τί εἴπω; Πάτερ, **σῶσόν** με ἐκ τῆς ὥρας ταύτης. Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην. Πάτερ, δόξασόν σου τὸ ὄνομα. Ἦλθεν οὖν φωνὴ ἐκ τοῦ οὐρανοῦ, Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω.

25. Μὴ ταρασσέσθω (se turbe) ὑμῶν ἡ καρδία· πιστεύετε εἰς τὸν θεόν, καὶ εἰς ἐμὲ πιστεύετε. Ἐν τῇ οἰκίᾳ τοῦ **πατρός** μου μοναὶ (moradas) πολλαί εἰσιν· εἰ δὲ μή, εἶπον ἂν ὑμῖν· Πορεύομαι ἑτοιμάσαι τόπον ὑμῖν. Καὶ ἐὰν πορευθῶ ⌜ ἑτοιμάσω ⌝ ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν· ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε. Καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:1-4)

26. Ὁ **ἑωρακὼς** ἐμέ, ἑώρακεν τὸν πατέρα· καὶ πῶς σὺ λέγεις, Δεῖξον ἡμῖν τὸν πατέρα; Οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν; Τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μή, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος (también aquel) ποιήσει, καὶ μείζονα (mayores) τούτων ποιήσει· ὅτι ἐγὼ πρὸς τὸν πατέρα μου πορεύομαι. Καὶ ὅ τι ἂν αἰτήσητε ἐν τῷ ὀνόματί μου, τοῦτο ποιήσω, ἵνα δοξασθῇ ὁ πατὴρ ἐν τῷ υἱῷ.

27. Ἐν τούτῳ **ἐδοξάσθη** ὁ πατήρ μου, ἵνα καρπὸν πολὺν φέρητε· καὶ γενήσεσθε ἐμοὶ μαθηταί. Καθὼς ἠγάπησέν με ὁ πατήρ, κἀγὼ ἠγάπησα ὑμᾶς· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. Ἐὰν τὰς ἐντολάς μου τηρήσητε, μενεῖτε ἐν τῇ ἀγάπῃ μου· καθὼς ἐγὼ τὰς ἐντολὰς τοῦ πατρός μου τετήρηκα, καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. Ταῦτα λελάληκα ὑμῖν, ἵνα ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ, καὶ ἡ χαρὰ ὑμῶν πληρωθῇ. Αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 15:8-12)

28. Ἕως ἄρτι οὐκ ᾐτήσατε οὐδὲν ἐν τῷ ὀνόματί μου· αἰτεῖτε, καὶ **λήψεσθε**, ἵνα ἡ χαρὰ ὑμῶν ᾖ πεπληρωμένη.

29. Ταῦτα ἐλάλησεν ὁ Ἰησοῦς, καὶ ἐπῆρεν (alzó) τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν, καὶ εἶπεν, Πάτερ, **ἐλήλυθεν** ἡ ὥρα· δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε· καθὼς ἔδωκας αὐτῷ ἐξουσίαν πάσης σαρκός, ἵνα πᾶν ὃ δέδωκας αὐτῷ, δώσει αὐτοῖς ζωὴν αἰώνιον. Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσίν σε τὸν μόνον ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Ἐγώ σε ἐδόξασα ἐπὶ τῆς γῆς· τὸ ἔργον ἐτελείωσα (he completado) ὃ δέδωκάς μοι ἵνα ποιήσω. Καὶ νῦν δόξασόν με σύ, πάτερ, παρὰ σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί. Ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις οὓς δέδωκάς μοι ἐκ τοῦ κόσμου· σοὶ ἦσαν, καὶ ἐμοὶ αὐτοὺς δέδωκας· καὶ τὸν λόγον σου τετηρήκασιν. Νῦν ἔγνωκαν ὅτι πάντα ὅσα δέδωκάς μοι, παρὰ σοῦ ἐστιν· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 17:1-7)

30. Ἴδε, ὁ βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύγασαν, **Ἆρον**, ἆρον, σταύρωσον αὐτόν. Λέγει αὐτοῖς ὁ Πιλάτος, Τὸν βασιλέα ὑμῶν σταυρώσω; Ἀπεκρίθησαν οἱ ἀρχιερεῖς, Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα (César). Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. Παρέλαβον δὲ τὸν Ἰησοῦν καὶ ἤγαγον·

31. Ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων, Μὴ γράφε, Ὁ βασιλεὺς τῶν Ἰουδαίων· ἀλλ' ὅτι Ἐκεῖνος εἶπεν, Βασιλεύς εἰμι τῶν Ἰουδαίων. Ἀπεκρίθη ὁ Πιλάτος, Ὃ γέγραφα, γέγραφα. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 19:21-22)

32. …οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραήλ, ὅτι καὶ κύριον καὶ Χριστὸν αὐτὸν ὁ θεὸς ἐποίησεν, τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε.

33. Οἱ δὲ εἶπον, Πίστευσον ἐπὶ τὸν κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. Καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ κυρίου, καὶ πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς ἔλουσεν (él lavó *a ellos*) ἀπὸ τῶν πληγῶν (golpes), καὶ ἐβαπτίσθη αὐτὸς καὶ οἱ αὐτοῦ πάντες… (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ 16:31-33)

34. Οὕτως καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

35. Εἴτε οὖν ἐσθίετε, εἴτε πίνετε, εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε. (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 10:31)

36. Καθὼς Ἀβραὰμ ἐπίστευσεν τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Γινώσκετε ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοί εἰσιν υἱοί Ἀβραάμ.

37. ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ· ὡς τέκνα φωτὸς περιπατεῖτε - ὁ γὰρ καρπὸς τοῦ πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ (bondad) καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ - δοκιμάζοντες τί ἐστιν εὐάρεστον (aceptable) τῷ κυρίῳ· (ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ 5:8-10)

38. Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς (ministros) αὐτοῦ πυρὸς φλόγα (llama)·

39. Οὕτως λαλεῖτε καὶ οὕτως ποιεῖτε, ὡς διὰ νόμου ἐλευθερίας (de libertad) μέλλοντες κρίνεσθαι. (ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ 2:12)

40. Οὕτως καὶ ἡ πίστις, ἐὰν μὴ ἔργα ἔχῃ, νεκρά ἐστιν καθ' ἑαυτήν. Ἀλλ' ἐρεῖ τις, Σὺ πίστιν ἔχεις, κἀγὼ ἔργα ἔχω· δεῖξόν μοι τὴν πίστιν σου ἐκ τῶν ἔργων σου, κἀγώ δείξω σοι ἐκ τῶν ἔργων μου τὴν πίστιν μου. Σὺ πιστεύεις ὅτι ὁ θεός εἷς ἐστιν· καλῶς ποιεῖς· καὶ τὰ δαιμόνια πιστεύουσιν, καὶ φρίσσουσιν (tiemblan).

41. Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ. Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκός, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία (orgullo) τοῦ βίου (vida), οὐκ ἔστιν ἐκ τοῦ πατρός, ἀλλ' ἐκ τοῦ κόσμου ἐστίν. (ΙΩΑΝΝΟΥ Α 2:15-16)

42. Ὑμεῖς οὐν ὃ ἠκούσατε ἀπ' ἀρχῆς, ἐν ὑμῖν μενέτω. Ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ ἐν τῷ πατρὶ μενεῖτε.

43. Ὃ βλέπεις γράψον εἰς βιβλίον, καὶ πέμψον ταῖς ἑπτὰ ἐκκλησίαις… (ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ 1:11)

44. Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

45. Ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον (Egipto), καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοί· μέλλει γὰρ Ἡρῴδης ζητεῖν τὸ παιδίον, τοῦ ἀπολέσαι αὐτό. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 2:13)

46. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης ὁ βαπτιστής, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, καὶ λέγων, Μετανοεῖτε· ἤγγικεν γὰρ ἡ βασιλεία τῶν οὐρανῶν.

47. Ποιήσατε οὖν καρπὸν ἄξιον τῆς μετανοίας· καὶ μὴ δόξητε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 3:8-9)

48. Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ.

49. ἐγὼ δὲ λέγω ὑμῖν, Ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν, εὐλογεῖτε τοὺς καταρωμένους (los que maldicen) ὑμᾶς, καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς, καὶ προσεύχεσθε ὑπὲρ τῶν … διωκόντων ὑμᾶς· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:44)

50. οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε, πρὸ τοῦ ὑμᾶς αἰτῆσαι αὐτόν. Οὕτως οὖν προσεύχεσθε ὑμεῖς· Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν … δὸς ἡμῖν σήμερον·

51. Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε (toquen), καὶ ἀνοιγήσεται ὑμῖν. Πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει, καὶ ὁ ζητῶν εὑρίσκει, καὶ τῷ κρούοντι (al que toca) ἀνοιγήσεται. Ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν ἐὰν αἰτήσῃ ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει (él dará) αὐτῷ; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 7:7-9)

52. Καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω.

53. Τότε λέγει αὐτοῖς, Ἀπόδοτε οὖν τὰ Καίσαρος (las cosas de César) Καίσαρι (a César)· καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. Καὶ ἀκούσαντες ἐθαύμασαν· καὶ ἀφέντες αὐτὸν ἀπῆλθον. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ προσῆλθον αὐτῷ Σαδδουκαῖοι (los saduceos), ⌜ οἱ ⌝ λέγοντες μὴ εἶναι ἀνάστασιν, καὶ ἐπηρώτησαν αὐτόν… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 22:22-23)

54. τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη·

55. Ἐσθιόντων δὲ αὐτῶν, λαβὼν ὁ Ἰησοῦς τὸν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασεν (*lo* partió) καὶ ἐδίδου τοῖς μαθηταῖς, καὶ εἶπεν, Λάβετε, φάγετε· τοῦτό ἐστιν τὸ σῶμά μου. Καὶ λαβὼν τὸ ποτήριον, καὶ εὐχαριστήσας, ἔδωκεν αὐτοῖς, λέγων, Πίετε ἐξ αὐτοῦ πάντες· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 26:26-27)

56. Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ βασιλεὺς Ἰσραήλ ἐστιν, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν ἐπ' αὐτῷ.

57. καὶ λέγει αὐτῷ, Ὅρα, μηδενὶ μηδὲν εἴπῃς· ἀλλ' ὕπαγε, σεαυτὸν δεῖξον τῷ ἱερεῖ, καὶ προσένεγκε περὶ τοῦ καθαρισμοῦ (pureza) σου ἃ προσέταξεν (ordenó) Μωσῆς… (ΚΑΤΑ ΜΑΡΚΟΝ 1:44)

58. Ὁ δὲ Ἰησοῦς εὐθέως ἀκούσας τὸν λόγον λαλούμενον λέγει τῷ ἀρχισυναγώγῳ (jefe de la sinagoga), Μὴ φοβοῦ, μόνον πίστευε.

59. εἶπεν ὁ βασιλεὺς τῷ κορασίῳ (muchacha), Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοί· καὶ ὤμοσεν (él juró) αὐτῇ ὅτι Ὃ ἐάν με αἰτήσῃς, δώσω σοί… (ΚΑΤΑ ΜΑΡΚΟΝ 6:22-23)

60. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Δότε αὐτοῖς ὑμεῖς φαγεῖν. Καὶ λέγουσιν αὐτῷ, Ἀπελθόντες ἀγοράσωμεν δηναρίων (denarios) διακοσίων (doscientos) ἄρτους, καὶ δῶμεν αὐτοῖς φαγεῖν; Ὁ δὲ λέγει αὐτοῖς, Πόσους ἄρτους ἔχετε; Ὑπάγετε καὶ ἴδετε.

61. Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθηταῖς αὐτοῦ, εἶπεν αὐτοῖς, Ὅστις θέλει ὀπίσω μου ἀκολουθεῖν, ἀπαρνησάσθω (que niege) ἑαυτόν, καὶ ἀράτω τὸν σταυρὸν (cruz) αὐτοῦ, καὶ ἀκολουθείτω μοι. Ὃς γὰρ ἂν θέλῃ τὴν ψυχὴν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν· ὃς δ' ἂν ἀπολέσῃ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ καὶ τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 8:34-35)

62. Αὐτὸς γὰρ Δαυὶδ εἶπεν ἐν πνεύματι ἁγίῳ, Λέγει ὁ κύριος τῷ κυρίῳ μου, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον (estrado) τῶν ποδῶν σου.

63. καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ, Καθίσατε ὧδε, ἕως προσεύξωμαι. Καὶ παραλαμβάνει τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην μεθ' ἑαυτοῦ… (ΚΑΤΑ ΜΑΡΚΟΝ 14:32-33)

64. ἦλθεν ἡ ὥρα· ἰδού, παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. Ἐγείρεσθε, ἄγωμεν· ἰδού, ὁ παραδιδούς με ἤγγικεν. Καὶ εὐθέως, ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται Ἰούδας, εἷς ὢν τῶν δώδεκα, καὶ μετ' αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν

(espadas) καὶ ξύλων (palos), παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων.

65. Ὁ δὲ Πιλάτος ἀποκριθεὶς πάλιν εἶπεν αὐτοῖς, Τί οὖν θέλετε ποιήσω ὃν λέγετε βασιλέα τῶν Ἰουδαίων; Οἱ δὲ πάλιν ἔκραξαν, Σταύρωσον αὐτόν. Ὁ δὲ Πιλάτος ἔλεγεν αὐτοῖς, Τί γὰρ κακὸν ἐποίησεν; Οἱ δὲ περισσοτέρως (mucho más) ἔκραξαν, Σταύρωσον αὐτόν. (ΚΑΤΑ ΜΑΡΚΟΝ 15:12-14)

28.5 VOCABULARIO

Verbos

1. **ἀποκαλύπτω** revelo, manifiesto Mateo 16:17
   σὰρξ καὶ αἷμα οὐκ **ἀπεκάλυψέν** σοι
   carne y sangre no te **reveló**

2. **βαστάζω** llevo, cargo, soportar Gál 6:2
   Ἀλλήλων τὰ βάρη **βαστάζετε**
   Lleven las cargas unos a otros

3. **ἥκω** he venido, llegado Mateo 24:14
   τότε **ἥξει** τὸ τέλος.
   luego el fin **vendrá**

4. **ἰάομαι** sano, curo, restauro Santiago 5:16
   εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως **ἰαθῆτε**.
   oren unos por otros para que **sean sanados**.

5. **καταργέω** anulo, destruyo 1 Co 15:26
   Ἔσχατος ἐχθρὸς **καταργεῖται** ὁ θάνατος.
   El último enemigo, la muerte, **será destruido**.

6. **κελεύω** ordeno, mando Mateo 14:28
   κέλευσόν με πρός σε ἐλθεῖν ἐπὶ τὰ ὕδατα.
   Ordene que se te acerque por encima de las aguas

Sustantivos

7. **ἡ ἀδικία**, ας injusticia Rom 9:14
   Μὴ **ἀδικία** παρὰ τῷ θεῷ;
   ¿No *hay* **injusticia** con Dios, verdad?

8. **ἡ ἑορτή, ῆς** fiesta Juan 6:4
   Ἦν δὲ ἐγγὺς τὸ Πάσχα, ἡ **ἑορτὴ** τῶν Ἰουδαίων.
   Pero la Pascua estaba cerca, la **fiesta** de los judíos.

9. **ἡ θυγάτηρ,** θυγατρός hija Mateo 9:22
   Θάρσει, **θύγατερ**· ἡ πίστις σου σέσωκέν σε.
   Ten confianza, **hija**; tu fe te ha sanado.

10. **ἡ κώμη,** ης pueblo, aldea Hechos 8:25
    πολλάς τε **κώμας** τῶν Σαμαρειτῶν εὐηγγελίσαντο.
    y en muchos **pueblos** de los samaritanos predicaron las buena nuevas.

11. **ὁ σταυρός,** οῦ — cruz — Filipenses 2:8
    γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ **σταυροῦ**.
    siendo obediente hasta la muerte, la muerte de la **cruz**.

Adjetivos

12. **ἀληθής, ές** — verdadero(a), cierto(a) — Filipenses 4:8
    Τὸ λοιπόν, ἀδελφοί, ὅσα ἐστὶν **ἀληθῆ** … ταῦτα λογίζεσθε.
    Por último, hermanos, las cosas que son **verdaderas** … consideren estas.

13. **πόσος, η, ον** — cuánto(a) — Mateo 15:34
    Πόσους ἄρτους ἔχετε; Οἱ δὲ εἶπον, Ἑπτά, καὶ ὀλίγα ἰχθύδια.
    "**¿Cuántos** panes tienen?" Pero ellos dijeron, "Siete y unos pescados pequeños."

14. **σός, σή, σόν** — tu — Marcos 2:18
    οἱ δὲ **σοὶ** μαθηταὶ οὐ νηστεύουσιν;
    pero **tus** discípulos no ayunan

Adverbio

15. **ἐκεῖθεν** — de allá — Mateo 4:21
    προβὰς **ἐκεῖθεν**, εἶδεν ἄλλους δύο ἀδελφούς
    saliendo **de allá**, vio a dos hermanos

29 ORACIONES CONDICIONALES

29.1 INTRODUCCIÓN

En la descripción más básica, las oraciones condicionales son oraciones que contienen una condición ("si") y una consecuencia ("entonces"). La consecuencia (entonces) depende del cumplimiento o no-cumplimiento de la condición (si). Un ejemplo de una oración condicional en español es: "Si llueve esta tarde, llevaré mi sombrilla." Otro ejemplo es: "Si llego tarde al trabajo, mi jefe me despedirá."

El griego cuenta con cuatro estructuras básicas de oraciones condicionales, las cuales expresan cinco ideas distintas. Las siguientes secciones presentarán esas estructuras (0), su significado (0), otros factores que afectan la significación de la declaración (0), y ejemplos (0). Al igual que la discusión sobre el tiempo, este capítulo presenta una introducción muy rudimental y simplista de un tema que puede ser complejo. Los alumnos deben recordar que es necesario estudiar más este tema.

29.2 ESTRUCTURA DE ORACIONES CONDICIONALES

La forma de oraciones condicionales debe considerarse primero. Si una oración condicional se expresa completamente, tendrá dos componentes principales: la cláusula de "si" (la prótasis) y la cláusula de "entonces" (la apódosis). La cláusula de "si" (la prótasis) es dependiente gramaticalmente; es decir, no es un pensamiento completo sino que requiere información adicional ("*Si llueve esta tarde*,"). La cláusula de "entonces" (la apódosis) es gramaticalmente independiente; es decir, es un pensamiento completo ("llevaré mi sombrilla"). El combinar las dos cláusulas resulta en una oración donde la segunda parte es una consecuencia de la primera: "Si llueve mañana, llevaré mi sombrilla".

Las oraciones condicionales del griego se categorizan conforme a cuatro clases o grupos, basadas en cómo se expresan las cláusulas de "si" (prótasis) y "entonces" (apódosis). Esas cláusulas se dan en el siguiente cuadro.

Clase	"Si" (Prótasis)	"Entonces" (Apódosis)
1ª	εἰ + indicativo de cualquier tiempo	indicativo, imperativo, o subjuntivo
2ª	εἰ + imperfecto o aoristo indicativo	(ἄν) + indicativo del imperfecto o aoristo
3ª (FMP)[1]	ἐάν + subjuntivo	cualquier tiempo o modo
3ª (PG 5ª)[1]	ἐάν + subjuntivo	presente indicativo
4ª	εἰ + optativo[2]	(ἄν) + optativo

La distinción más básica entre las diferentes clases de condiciones es el modo (indicativo, subjuntivo, optativo) que se usa en la prótasis ("si"). Las condiciones que usan el modo indicativo simplemente están presentando algo como verdadero o no verdadero. La palabra "presentando" no se puede enfatizar demasiado porque la oración puede o no reflejar la realidad. El hablante podría estar equivocado, mintiendo, asumiendo algo que no es verdad y con lo que no está deacuerdo simplemente con el fin de argumentar un punto, etc. Con esto dicho, la declaración podría reflejar la realidad. Los factores que van más allá de la declaración tienen que considerarse para determinar su legitimidad.

Las condiciones que usan el modo subjuntivo en la prótasis expresan algo que, desde la perspectiva del hablante, todavía no se ha determinado ser verdadero o no verdadero. El hablante refleja duda sobre si sucederá o no. El modo optativo expresa algo con aún más duda en cuanto a su cumplimiento. Los deseos y oraciones muchas veces pertenecen al modo optativo.

Dos puntos más deberían llevarse a cabo antes de proceder a la próxima sección sobre el significando de las oraciones condicionales. Primero, las estructuras gramaticales presentadas anteriormente se dan de forma simplista como una introducción. Existen variaciones en el Nuevo Testamento griego. Cualquiera de las cláusulas de "si" (prótasis) o "entonces" (apódosis) podría omitirse o podría ser tácita. En vez de un verbo en el modo indicativo o subjuntivo, podrían usarse participios o el modo imperativo. A veces las partes de las condiciones están mezcladas. Lucas 17:6, por ejemplo, tiene partes de la primera y

[1] Algunas gramáticas dividen las condiciones de la 3ª clase en dos grupos: 3ª clase (futuro más probable) y 5ª clase (presente general). Esta división se basa más en una diferencia en el significado de la condición que en su estructura. El futuro más probable (FMP) presenta situaciones específicas que puede ser que ocrran o no; sin embargo, si la prótasis ("si") *sí sucede*, la apódosis ("entonces") definativemente sucederá, al menos es lo que piensa el hablante. Considere el siguiente ejemplo: "Si Juan trata de llevarse toda la herencia, voy a llevarlo a la corte." La declaración expresa un evento espécifo que todavía no ha sucedido. Tal vez Juan sea tan codicioso, tal vez no. Si Juan trata de llevarse la herencia, el que está hablando definitivamente lo llevará a la corte. La condición del presente general (PG) presenta actividades generales que tienen lugar en cualquier moment o en todo momento. Considere el siguiente ejemplo: "Si los hermanos y hermanas se vuelven codiciosos, habrá divisiones en el cuerpo." La declaración es una descripción general de lo que normalmente se espera que suceda.

[2] El modo optativo se usaba cada vez menos durante el periodo koiné, con el subjuntivo tomando su lugar. El Nuevo Testamento refleja este cambio en que el optativo aparece menos de 70 veces. Así que, no se soprenda que no haya ni una oración condicional completa de la cuarta condición en el Nuevo Testamento. El optativo tampoco se usa en el griego moderno.

segunda clase. Juan 13:17 tiene partes de la primera y tercera clase. En aquel uso, se da por sentado que los discípulos ya **saben "**esto" pero es cuestionable si lo **harán** o no**.**

Segundo, a estas alturas de su estudio, no se frustre con las dificultades que las oraciones condicionales presenten. Domine las estructuras "estándares" ahora sin preocuparse por las condicionales que no conciernen con la norma. Habrá tiempo suficiente más adelante para frustrarse en sus estudios. Solo hay que acercarse a las oraciones condicionales entendiendo que se usarán con mucha flexibilidad. ¡Después de todo, es así cómo los hablantes del griego usaban este aspecto del idioma!

29.3 SIGNIFICADO DE LAS ORACIONES CONDICIONALES

Como se mencionó anteriormente, la cláusula "si" (prótasis) es gramaticalmente dependiente y la cláusula "entonces" es independiente. En cuanto al significado (fuerza semántica), sin embargo, es al revés. La cláusula "si" es semánticamente independiente y la cláusula "entonces" (apódosis) es semánticamente dependiente. En otras palabras, la posibilidad de la cláusula "si" (prótasis) no depende de la cláusula "entonces" (apódosis). Considere la siguiente oración: "Si llueve esta tarde, llevaré mi sombrilla". La posibilidad de que llueva, no depende de que si yo lleve o no mi sombrilla. Sin embargo, el llevar la sombrilla (en esta estructura lingüística) sí depende de que llueva o no.

El siguiente cuadro da los significados básicos de las distintas clases de oraciones condicionales. Con el tiempo, usted podrá hacer un análisis más detallado o amplio sobre los significados posibles. Recuerde que estas descripciones solo reflejan cómo las distintas condiciones se usan en el habla o la escritura. No necesariamente describen la verdad o no-verdad de lo que sucede en el mundo real.

Clase	Significado
1ª	presenta algo como verdadero
2ª	presenta algo como falso
3ª (FMP)	presenta algo que pueda cumplirse en el futuro
3ª (PG – 5ª)	presenta algo que pueda suceder en general o en cualquier momento
4ª	presenta algo que tenga menos probabilidad que ocurra

29.4 OTRAS CONSIDERACIONES DE ORACIONES CONDICIONALES

Aunque los factores gramaticales como el significado de la estructura y de palabras son muy importantes para el entendimiento de oraciones condicionales, el contexto más amplio y la situación también tienen un rol importante y no se pueden ignorar. Los siguientes párrafos presentan algunos ejemplos de estos temas que pueden estar involucrados. Ni la información que se da aquí ni los ejemplos tienen la intención de ser exhaustivos. El propósito es demostrar la complejidad e importancia de las oraciones condicionales.

Considere el ejemplo, "Si llueve esta tarde, llevaré mi sombrilla." Como se expresa en la declaración, llevar la sombrilla depende de que si llueva o no. Aunque la consecuencia

"entonces" ni está expresada, está allí lógicamente. En cuanto a la situación "real", es posible que haga la declaración y luego se me olvide llevar la sombrilla, a pesar de que el meteorólogo tenga razón y llegue una lluvia fuerte. También pueden haber otras ocasiones en donde llevo la sombrilla sin esperar que llueva, si voy a salir al sol por mucho tiempo, por ejemplo. Podría estar mintiendo; podría estar bromeando; ¡hasta podría estar inventando una oración para usarla en una gramática griega! Hay que recordar que la oración condicional es una forma de expresar las cosas y puede ser o no que refleje la realidad con precisión. A final de cuentas, la significación final de condicionales en una comunicación siempre será determinada por un contexto mucho más amplio que incorpora la situación completa en la cual el acto de hablar ocurre.

Lucas 12:26 da un ejemplo de una condición donde la intención del hablante es importante. Jesús dice, "Por lo tanto, si no pueden hacer las cosas más pequeñas, ¿por qué están preocupados por las mayores?" Técnicamente, la cláusula "entonces" (apódosis) es una pregunta: "¿por qué están preocupados por las mayores?". Sin embargo, la intención retórica de las palabras del Señor no es hacer una pregunta sino guiar a los discípulos a la conclusión que no deberían preocuparse. En breve, la fuerza consiste en dar un mandamiento en contra la ansiedad sobre el futuro: "No se preocupen."

Juan 18:23 muestra cómo la fuerza de una declaración puede ser influenciada más por consideraciones lógicas que por estructuras gramaticales. Jesús dice, "Si he hablado mal, testifique sobre lo que dije mal." La declaración "Si he hablado mal" inicia una condición de la primera clase. Las condiciones de la primera clase presumen la realidad de la prótasis. Para fines del argumento, Jesús presume que ha dicho falsedades cuando, en realidad, no lo ha hecho. Luego agrega, "Pero si *he hablado* bien, ¿por qué me golpean?" Aquí Jesús no simplemente hace una pregunta sino señala a sus adversarios que no deberían estarle golpeando.

Se pueden multiplicar los ejemplos de estos tipos de situaciones. El hecho de que Pedro pide permiso más que describir una situación condicional en Mateo 17:4 (si quieres, construiré aquí tres tabernáculos…) es evidente por los subjuntivos exhortatorios usados en Lucas 9:33 y Marcos 9:5. La condición en Lucas 23:45 (…que se salve a sí mismo, si él es el Cristo…) obviamente involucra burlas y calumnias, algo que se ve del contexto mayor. Esta conclusión también sale de los detalles de Mateo 27:39, 41 y Marcos 15:29-32 donde la intención de los enemigos de Jesús se dice con claridad. No tienen ninguna intención de entrar en una discusión sobre qué es verdad o no. Ya están totalmente convencidos en sus mentes sobre el carácter de Jesús, una opinión que les guía a sus burlas. Por último, Mateo 7:7 (Pidan y les será dado) es un ejemplo donde una condición puede estar presente a pesar de la falta de una estructura formal. En ese caso, se usa un verbo imperativo en la prótasis.

Como se vio anteriormente, no se pueden ignorar las implicaciones derivadas del contexto más amplio. Usted aprenderá esas posibilidades con más tiempo estudiando el idioma. Aún así, es posible que algunas construcciones complicadas tengan matices que se nos escapan porque no somos, ni existen, hablantes nativos de griego koiné. Por el momento, se le anima

a usted a que aprenda las estructuras básicas y que continúe avanzando en el mundo magnífico de oraciones condicionales.

29.5 EJEMPLOS DE ORACIONES CONDICIONALES

29.5.1 Condiciones de la primera clase

Esta clase de condición presenta algo como verdadero. La estructura es:

"Si" (Prótasis)	"Entonces" (Apódosis)
εἰ + indicativo de cualquier modo	indicativo imperativo subjuntivo

Ejemplo 1: Καὶ **εἰ** ἐγὼ ἐν Βεελζεβοὺλ **ἐκβάλλω** τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι **ἐκβάλλουσιν**;
Y si yo **echo fuera** los demonios por Beelzebú, ¿por quién los **echan fuera** sus hijos?

Este es un ejemplo de una condición de la primera clase que se usa en muchas gramáticas griegas. Jesús debate con los fariseos y, en la discusión, asume el mismo punto en el cual se basa su ataque. Creen que echa fuera los demonios por el poder de Beelzebú. El hecho de que Jesús dice esta condición en una estructura de la primera clase no significa que él esté echando fuera los demonios por Beelzebú. ¡Es lo contrario! Jesús empieza con la idea que, si fuera cierto, ¿qué seguiría?

Ejemplo 2: …**εἰ** τὸν λόγον μου **ἐτήρησαν**, καὶ τὸν ὑμέτερον **τηρήσουσιν**.
…si guardan mi palabra, también la de ustedes **guardarán**.

Ejemplo 3: **Εἰ** γὰρ Ἀβραὰμ ἐξ ἔργων **ἐδικαιώθη**, **ἔχει** καύχημα…
Porque **si** Abraham **fue justificado** por obras, **tiene** motivo de orgullo…

Ejemplo 4: **Εἰ** γὰρ νεκροὶ οὐκ **ἐγείρονται**, οὐδὲ Χριστὸς **ἐγήγερται**·
Porque **si** los muertos no **se levantan**, ni Cristo **ha sido levantado**.

Este es otro buen ejemplo donde el autor usa una condición de la primera clase para fines de argumento. En el contexto, Pablo claramente argumenta que los muertos serán levantados. No está de acuerdo con la prótasis (si) y usa la realidad de la apódosis (entonces) para negarla. Cristo ha sido levantado de los muertos, lo cual significa que hay una resurrección de los muertos.

Ejemplo 5: …ὅτι νῦν **ζῶμεν**, **ἐὰν** ὑμεῖς **στήκετε** ἐν κυρίῳ.
…porque ahora **vivimos, si** ustedes **permanecen** en el Señor.

La apódosis está antes de la prótasis y ἐάν aparece con el modo indicativo.

Ejemplo 6: **Εἰ** υἱὸς **εἶ** τοῦ θεοῦ, **εἰπὲ** τῷ λίθῳ τούτῳ…
Si tú eres el Hijo de Dios, **di** a esta piedra…

La apódosis tiene un imperativo.

29.5.2 Condiciones de la segunda clase

Esta clase de condición presenta algo como falso. La estructura es:

"Si" (Prótasis)	**"entonces" (Apódosis)**
εἰ + imperfecto o aoristo indicativo	(ἄν) + imperfecto o aoristo indicativo

Ejemplo 7: Ἀπεκρίθη Ἰησοῦς, Οὐκ **εἶχες** ἐξουσίαν οὐδεμίαν κατ' ἐμοῦ, **εἰ** μὴ **ἦν** σοι **δεδομένον** ἄνωθεν·
Jesús contestó, "No **tendrías** ninguna autoridad sobre mí, **si** no **te fuera dada** de arriba.

Ejemplo 8: Οὗτος, **εἰ ἦν** προφήτης, **ἐγίνωσκεν ἂν** τίς καὶ ποταπὴ ἡ γυνὴ ἥτις ἅπτεται αὐτοῦ, ὅτι ἁμαρτωλός ἐστιν.
Si aquel **fuera** profeta, él **sabría** quién y qué clase de mujer le toca…

El tiempo imperfecto y aoristo no siempre hace referencia al tiempo cronológico del pasado. En este ejemplo, la declaración se refiere al tiempo presente de la discusión. A menudo el imperfecto se usa con condiciones de la segunda clase que hacen referencia al tiempo (cronológico) presente y el aoristo se usa cuando el tiempo es anterior a la declaración. No obstante, siempre es el contexto el que determina la referencia cronológica.

Ejemplo 9: **εἰ** γὰρ **ἦσαν** ἐξ ἡμῶν, **μεμενήκεισαν ἂν** μεθ' ἡμῶν·
Porque si **fueran** de nosotros, **hubieran permanecido** con nosotros.

Observe el tiempo perfecto en la apódosis.

29.5.3 Condiciones de la tercera clase

Esta clase de condición presenta algo que puede cumplirse en el futuro (futuro más probable) o algo que puede suceder en general o en cualquier momento (presente general). Algunas gramáticas categorizan el segundo uso como quinta clase, aunque la estructura es idéntica al primero. La estructura es:

"Si" (Prótasis)	"Entonces" (Apódosis)
ἐάν + subjuntivo	cualquier tiempo o modo

Futuro más probable

Ejemplo 10: Κύριε, **ἐὰν θέλῃς**, **δύνασαί** με καθαρίσαι.˙
Señor, **si quieres**, **puedes** sanarme.

Ejemplo 11: **Ἐάν** τις **ἴδῃ** τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, **αἰτήσει**, καὶ **δώσει** αὐτῷ ζωήν…
Si alguno **ve** a su hermano cometiendo (pecando) un pecado que no *resulta en* muerte, **pedirá** y le **dará** vida…

Presente General

Ejemplo 12: Καὶ **ἐὰν ἀγαθοποιῆτε** τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις **ἐστίν**;
Y **si tratan bien** a los que les tratan bien, ¿qué favor les **es**?

Ejemplo 13: Καὶ αὕτη ἐστὶν ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι **ἐάν** τι **αἰτώμεθα** κατὰ τὸ θέλημα αὐτοῦ, **ἀκούει** ἡμῶν˙
Y esta es la confianza que tenemos con él, que **si pedimos** algo según su voluntad, nos **oye**.

29.5.4 Condiciones de la cuarta clase

Esta clase de condición presenta algo con menos probabilidad de ocurrir. No hay ejemplos completos en el Nuevo Testamento.

"Si" (Prótasis)	"Entonces" (Apódosis)
εἰ + optativo	(ἄν) + optativo

29.6 EJERCICIOS

Lea las siguientes oraciones en voz alta y luego tradúzcalas. Con los primeros 30 ejercicios, analice la palabra **en negrita**. También, categorice cualquier condición de los primeros 30 ejercicios como primera, segunda, tercera, o cuarta clase.

1. Καὶ οἱ **ἀπεσταλμένοι** ἦσαν ἐκ τῶν Φαρισαίων. Καὶ ἠρώτησαν αὐτόν, καὶ εἶπον αὐτῷ, Τί οὖν βαπτίζεις, εἰ σὺ οὐκ εἶ ὁ Χριστός, οὔτε Ἠλίας, οὔτε ὁ προφήτης; Ἀπεκρίθη αὐτοῖς ὁ Ἰωάννης λέγων, Ἐγὼ βαπτίζω ἐν ὕδατι· μέσος δὲ ὑμῶν ἕστηκεν ὃν ὑμεῖς οὐκ οἴδατε. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 1:24-26)

2. Ἦν δὲ ἄνθρωπος ἐκ τῶν Φαρισαίων, Νικόδημος (Nicodemo) ὄνομα αὐτῷ, ἄρχων τῶν Ἰουδαίων· οὗτος ἦλθεν πρὸς ⌜ αὐτὸν ⌝ **νυκτός**, καὶ εἶπεν αὐτῷ, Ῥαββί (Rabí), οἴδαμεν ὅτι ἀπὸ θεοῦ ἐλήλυθας διδάσκαλος· οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν ἃ σὺ ποιεῖς, ἐὰν μὴ ᾖ ὁ θεὸς μετ' αὐτοῦ. Ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτῷ, Ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ.

3. Ἀπεκρίθη Ἰωάννης καὶ εἶπεν, Οὐ δύναται ἄνθρωπος **λαμβάνειν** οὐδέν, ἐὰν μὴ ᾖ δεδομένον αὐτῷ ἐκ τοῦ οὐρανοῦ. Αὐτοὶ ὑμεῖς μαρτυρεῖτε ὅτι εἶπον, Οὐκ εἰμὶ ἐγὼ ὁ Χριστός, ἀλλ' ὅτι Ἀπεσταλμένος εἰμὶ ἔμπροσθεν ἐκείνου. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 3:27-29)

4. Ἐὰν ἐγὼ **μαρτυρῶ** περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής. Ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ οἶδα ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ. Ὑμεῖς ἀπεστάλκατε πρὸς Ἰωάννην, καὶ μεμαρτύρηκεν τῇ ἀληθείᾳ. Ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς σωθῆτε.

5. Ἐγὼ **ἐλήλυθα** ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. Πῶς δύνασθε ὑμεῖς πιστεῦσαι, δόξαν παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητεῖτε; Μὴ δοκεῖτε ὅτι ἐγὼ κατηγορήσω (acusaré) ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν ὁ κατηγορῶν (el que acusa) ὑμῶν, Μωσῆς, εἰς ὃν ὑμεῖς ἠλπίκατε (han esperado). Εἰ γὰρ ἐπιστεύετε ⌜ Μωσῇ, ⌝ ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. Εἰ δὲ τοῖς ἐκείνου γράμμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασιν πιστεύσετε; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 5:43-47)

6. Ἐγώ εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ **καταβάς**· ἐάν τις φάγῃ ἐκ τούτου τοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα. Καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.

7. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ φάγητε τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου καὶ **πίητε** αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. Ὁ τρώγων (El que come) μου τὴν σάρκα καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον, καὶ ἐγὼ ἀναστήσω αὐτὸν ⌜ τῇ ⌝ ἐσχάτῃ ἡμέρᾳ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 6:53-54)

8. Εἰ ταῦτα ποιεῖς, **φανέρωσον** σεαυτὸν τῷ κόσμῳ. Οὐδὲ γὰρ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς, Ὁ καιρὸς ὁ ἐμὸς οὔπω πάρεστιν…

9. Ὑμεῖς κατὰ τὴν σάρκα κρίνετε· ἐγὼ οὐ κρίνω οὐδένα. Καὶ ἐὰν κρίνω δὲ ἐγώ, ἡ κρίσις ἡ ἐμὴ ἀληθής ἐστιν· ὅτι μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ. Καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ (su, de Uds.) **γέγραπται** ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. Ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:15-18)

10. Εἶπον οὖν ὑμῖν ὅτι ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ **πιστεύσητε** ὅτι ἐγώ εἰμι, ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν. Ἔλεγον οὖν αὐτῷ, Σὺ τίς εἶ; Καὶ εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Τὴν ἀρχὴν ὅ τι καὶ λαλῶ ὑμῖν. Πολλὰ ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· ἀλλ' ὁ πέμψας με ἀληθής ἐστιν, κἀγὼ ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα λέγω εἰς τὸν κόσμον. Οὐκ ἔγνωσαν ὅτι τὸν πατέρα αὐτοῖς ἔλεγεν.

11. Ἀπεκρίθησαν καὶ εἶπον αὐτῷ, Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστιν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τέκνα τοῦ Ἀβραὰμ **ἦτε**, τὰ ἔργα τοῦ Ἀβραὰμ ⌜ ἐποιεῖτε. ⌝ Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, ἣν ἤκουσα παρὰ τοῦ θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ ἐποίησεν. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:39-40)

12. Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ ὁ θεὸς πατὴρ ὑμῶν ἦν, **ἠγαπᾶτε** ἂν ἐμέ· ἐγὼ γὰρ ἐκ τοῦ θεοῦ ἐξῆλθον καὶ ἥκω· οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός με ἀπέστειλεν. Διὰ τί τὴν λαλιὰν (palabra) τὴν ἐμὴν οὐ γινώσκετε; Ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.

13. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις τὸν λόγον τὸν ἐμὸν τηρήσῃ, θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα. Εἶπον οὖν αὐτῷ οἱ Ἰουδαῖοι, Νῦν **ἐγνώκαμεν** ὅτι δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανεν καὶ οἱ προφῆται, καὶ σὺ λέγεις, Ἐάν τις τὸν λόγον μου τηρήσῃ, οὐ μὴ γεύσηται (nunca jamás probará) θανάτου εἰς τὸν αἰῶνα. Μὴ σὺ μείζων (mayor) εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, ὅστις ἀπέθανεν; Καὶ οἱ προφῆται ἀπέθανον· τίνα σεαυτὸν σὺ ποιεῖς; Ἀπεκρίθη Ἰησοῦς, Ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ πατήρ μου ὁ δοξάζων με, ὃν ὑμεῖς λέγετε ὅτι θεὸς ἡμῶν ἐστιν, καὶ οὐκ ἐγνώκατε αὐτόν· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 8:51-55)

14. Ὁ δὲ ἔφη, Πιστεύω, κύριε· καὶ προσεκύνησεν αὐτῷ. Καὶ εἶπεν ὁ Ἰησοῦς, Εἰς κρίμα ἐγὼ εἰς τὸν κόσμον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσιν, καὶ οἱ βλέποντες τυφλοὶ **γένωνται**. Καὶ ἤκουσαν ἐκ τῶν Φαρισαίων ταῦτα οἱ ὄντες μετ' αὐτοῦ, καὶ εἶπον αὐτῷ, Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν; Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Εἰ τυφλοὶ ἦτε, οὐκ ἂν εἴχετε ἁμαρτίαν· νῦν δὲ λέγετε ὅτι Βλέπομεν· ἡ οὖν ἁμαρτία ὑμῶν μένει.

15. Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, **σωθήσεται**, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν (pasto) εὑρήσει. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 10:9)

16. Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, Οὐκ ἔστιν **γεγραμμένον** ἐν τῷ νόμῳ ὑμῶν, Ἐγὼ εἶπα, Θεοί ἐστε; Εἰ ἐκείνους εἶπεν θεούς, πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο - καὶ οὐ δύναται λυθῆναι ἡ γραφή - ὃν ὁ πατὴρ ἡγίασεν καὶ ἀπέστειλεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε ὅτι Βλασφημεῖς, ὅτι εἶπον, Υἱὸς τοῦ θεοῦ εἰμι; Εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν (y si) ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύσατε· ἵνα γνῶτε καὶ πιστεύσητε ὅτι ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ ἐν αὐτῷ.

17. Λέγει αὐτῇ ὁ Ἰησοῦς, Οὐκ εἶπόν σοι, ὅτι ἐὰν **πιστεύσῃς**, ὄψει τὴν δόξαν τοῦ θεοῦ; (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 11:40)

18. **Συνήγαγον** οὖν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι συνέδριον (concilio), καὶ ἔλεγον, Τί ποιοῦμεν; Ὅτι οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ. Ἐὰν ἀφῶμεν αὐτὸν οὕτως, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι (romanos) καὶ ἀροῦσιν ἡμῶν καὶ τὸν τόπον καὶ τὸ ἔθνος.

19. Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα **ἀγαπᾶτε** ἀλλήλους· καθὼς ἠγάπησα ὑμᾶς, ἵνα καὶ ὑμεῖς ἀγαπᾶτε ἀλλήλους. Ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις. (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 13:34-35)

20. Πορεύομαι **ἑτοιμάσαι** τόπον ὑμῖν. Καὶ ἐὰν πορευθῶ ⌜ ἑτοιμάσω ⌝ ὑμῖν τόπον, πάλιν ἔρχομαι καὶ παραλήψομαι ὑμᾶς πρὸς ἐμαυτόν· ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ ὑμεῖς ἦτε. Καὶ ὅπου ἐγὼ ὑπάγω οἴδατε, καὶ τὴν ὁδὸν οἴδατε. Λέγει αὐτῷ Θωμᾶς (Tomás), Κύριε, οὐκ οἴδαμεν ποῦ ὑπάγεις· καὶ πῶς δυνάμεθα τὴν ὁδὸν εἰδέναι; Λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ.

21. Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε. Καὶ ἐγὼ ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον (Consolador) δώσει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό. Ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται. Οὐκ **ἀφήσω** ὑμᾶς ὀρφανούς (huérfano)· ἔρχομαι πρὸς ὑμᾶς. Ἔτι μικρὸν καὶ ὁ κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με· ὅτι ἐγὼ ζῶ, καὶ ὑμεῖς ζήσεσθε. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γνώσεσθε ὑμεῖς ὅτι ἐγὼ ἐν τῷ πατρί μου, καὶ ὑμεῖς ἐν ἐμοί, καὶ ἐγὼ ἐν ὑμῖν. Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ἀγαπῶν με· ὁ δὲ ἀγαπῶν με, ἀγαπηθήσεται ὑπὸ τοῦ πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτόν… (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 14:15-21)

22. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν **μεμίσηκεν**.

23. Εἰ ἐμὲ **ἐδίωξαν**, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον (la suya) τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασιν τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 15:20-22)

24. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἴχον· νῦν δὲ καὶ ἑωράκασιν καὶ μεμισήκασιν καὶ ἐμὲ καὶ τὸν **πατέρα** μου.

25. εἶπεν πρὸς αὐτούς, Εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; Οἱ δὲ εἶπον πρὸς αὐτόν, Ἀλλ' οὐδὲ εἰ **πνεῦμα** ἅγιόν ἐστιν, ἠκούσαμεν. Εἶπέν τε πρὸς αὐτούς, Εἰς τί οὖν ἐβαπτίσθητε; Οἱ δὲ εἶπον, Εἰς τὸ Ἰωάννου βάπτισμα (bautismo). (ΚΑΤΑ ΙΩΑΝΝΗΝ 19:2-3)

26. εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ (centurión) καὶ τοῖς στρατιώταις (soldados), Ἐὰν μὴ οὗτοι **μείνωσιν** ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε.

27. Τί οὖν **ἐροῦμεν** Ἀβραὰμ τὸν πατέρα ἡμῶν εὑρηκέναι κατὰ σάρκα; Εἰ γὰρ Ἀβραὰμ ἐξ ἔργων ἐδικαιώθη, ἔχει καύχημα (motivo de jactancia), ἀλλ' οὐ πρὸς τὸν θεόν. Τί γὰρ ἡ γραφὴ

λέγει; Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. Τῷ δὲ ἐργαζομένῳ ὁ μισθὸς οὐ λογίζεται κατὰ χάριν, ἀλλὰ κατὰ ὀφείλημα (deuda). (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 4:1-4)

28. Πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι' αὐτοῦ ἀπὸ τῆς ὀργῆς. Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν (fuimos reconciliados) τῷ θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες (habiendo sido reconciliados) σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ· οὐ μόνον δέ, ἀλλὰ καὶ **καυχώμενοι** ἐν τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ νῦν τὴν καταλλαγὴν (reconciliación) ἐλάβομεν.

29. ὁ γὰρ **ἀποθανὼν** δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν (viviremos con) αὐτῷ· εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν οὐκέτι ἀποθνῄσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει (enseñorea). (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 6:7-9)

30. εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνῄσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις (obras) τοῦ σώματος θανατοῦτε (ustedes hacen morir), ζήσεσθε. Ὅσοι γὰρ πνεύματι θεοῦ **ἄγονται**, οὗτοί εἰσιν υἱοὶ θεοῦ.

31. Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ οὐδεὶς ἑαυτῷ ἀποθνῄσκει. Ἐάν τε γὰρ ζῶμεν, τῷ κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνῄσκωμεν, τῷ κυρίῳ ἀποθνῄσκομεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε ἀποθνῄσκωμεν, τοῦ κυρίου ἐσμέν. Εἰς τοῦτο γὰρ Χριστὸς καὶ ἀπέθανεν καὶ ἀνέστη καὶ ἔζησεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ (fuera el Señor). (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ 14:7-9)

32. …οὐδεὶς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· ἀλλὰ καθὼς γέγραπται, Ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.

33. Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; Οὕτως καὶ τὰ τοῦ θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ. Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ, ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα (las cosas dadas) ἡμῖν. (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 2:11-12)

34. Τί δὲ ἔχεις ὃ οὐκ ἔλαβες; Εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;

35. Τί γὰρ οἶδας, γύναι, εἰ τὸν ἄνδρα σώσεις; Ἢ τί οἶδας, ἄνερ, εἰ τὴν γυναῖκα σώσεις; (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 7:16)

36. Ἐὰν γὰρ προσεύχωμαι γλώσσῃ, τὸ πνεῦμά μου προσεύχεται…

37. Εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς ἐγήγερται· εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία (vano) ἡ πίστις ὑμῶν· ἔτι ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 15:16-17)

38. …εἰ νεκροὶ οὐκ ἐγείρονται, Φάγωμεν καὶ πίωμεν, αὔριον (mañana) γὰρ ἀποθνῄσκομεν.

39. Ὥστε ἡμεῖς ἀπὸ τοῦ νῦν οὐδένα οἴδαμεν κατὰ σάρκα· εἰ δὲ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν. (ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α 5:16)

40. Ἡμεῖς φύσει (por naturaleza) Ἰουδαῖοι καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί, εἰδότες ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν Ἰησοῦν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου· διότι (Por lo tanto) οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ.

41. Ἐγὼ δέ, ἀδελφοί, εἰ περιτομὴν ἔτι κηρύσσω, τί ἔτι διώκομαι; (ΠΡΟΣ ΓΑΛΑΤΑΣ 5:11)

42. Εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον.

43. …εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω. (ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β 3:10)

44. ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν (comunión) ἔχομεν μετ' ἀλλήλων, καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. Ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν, καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστιν καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας, καὶ καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας.

45. Τεκνία μου, ταῦτα γράφω ὑμῖν, ἵνα μὴ ἁμάρτητε. Καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον (Consolador) ἔχομεν πρὸς τὸν πατέρα, Ἰησοῦν Χριστὸν δίκαιον· (ΙΩΑΝΝΟΥ Α 2:1)

46. Μὴ ἀγαπᾶτε τὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ. Ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ. Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκός, καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία (orgullo) τοῦ βίου (vida), οὐκ ἔστιν ἐκ τοῦ πατρός, ἀλλ' ἐκ τοῦ κόσμου ἐστίν. Καὶ ὁ κόσμος παράγεται, καὶ ἡ ἐπιθυμία αὐτοῦ· ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα.

47. Ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστιν, γινώσκετε ὅτι πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται. (ΙΩΑΝΝΟΥ Α 2:29)

48. ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου, καὶ ἀνοίξῃ τὴν θύραν, καὶ εἰσελεύσομαι πρὸς αὐτόν, καὶ δειπνήσω (cenaré) μετ' αὐτοῦ, καὶ αὐτὸς μετ' ἐμοῦ.

49. Καὶ προσελθὼν αὐτῷ ὁ πειράζων εἶπεν, Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται. Ὁ δὲ ἀποκριθεὶς εἶπεν, Γέγραπται, Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 4:3-4)

50. Ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. Τότε λέγει αὐτῷ ὁ Ἰησοῦς, Ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται γάρ, Κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις (servirás).

51. Ἐὰν γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; Οὐχὶ καὶ οἱ τελῶναι (cobradores de impuesto) τὸ αὐτὸ ποιοῦσιν; (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 5:46)

52. Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα (transgresiones) αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα (transgresiones) αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα (transgresiones) ὑμῶν.

53. Καὶ ἰδού, γυνὴ αἱμορροοῦσα (con flujo de sangre) δώδεκα ἔτη, προσελθοῦσα ὄπισθεν, ἥψατο τοῦ κρασπέδου (borde) τοῦ ἱματίου αὐτοῦ. Ἔλεγεν γὰρ ἐν ἑαυτῇ, Ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 9:20-21)

54. Καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλθέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν πρὸς ὑμᾶς ἐπιστραφήτω. Καὶ ὃς ἐὰν μὴ δέξηται ὑμᾶς μηδὲ ἀκούσῃ τοὺς λόγους ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης, ἐκτινάξατε (sacudan) τὸν κονιορτὸν (el polvo) τῶν ποδῶν ὑμῶν.

55. καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 11:14-15)

56. Διδάσκαλε, Μωσῆς εἶπεν, Ἐάν τις ἀποθάνῃ μὴ ἔχων τέκνα, ἐπιγαμβρεύσει (se casará con) ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἀναστήσει σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.

57. καὶ λέγετε, Εἰ ἦμεν ἐν ταῖς ἡμέραις τῶν πατέρων ἡμῶν, οὐκ ἂν ἦμεν κοινωνοὶ (partícipes) αὐτῶν ἐν τῷ αἵματι τῶν προφητῶν. Ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων (de los que habían asesinado) τοὺς προφήτας· (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 23:30-31)

58. Τότε ἐάν τις ὑμῖν εἴπῃ, Ἰδού, ὧδε ὁ Χριστός, ἢ ὧδε, μὴ πιστεύσητε.

59. Ἐὰν δὲ εἴπῃ ὁ κακὸς δοῦλος ἐκεῖνος ἐν τῇ καρδίᾳ αὐτοῦ, Χρονίζει (tarda) ὁ κύριός μου ἐλθεῖν… (ΚΑΤΑ ΜΑΘΘΑΙΟΝ 24:48)

60. …σῶσον σεαυτόν· εἰ υἱὸς εἶ τοῦ θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ.

61. Καὶ καθίσας ἐφώνησεν τοὺς δώδεκα, καὶ λέγει αὐτοῖς, Εἴ τις θέλει πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος, καὶ πάντων διάκονος. Καὶ λαβὼν παιδίον, ἔστησεν αὐτὸ ἐν μέσῳ αὐτῶν· καὶ ἐναγκαλισάμενος (tomando … en sus brazos) αὐτό, εἶπεν αὐτοῖς· Ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς ἐὰν ἐμὲ δέξηται, οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με. (ΚΑΤΑ ΜΑΡΚΟΝ 9:35-37)

62. Καὶ προσελθόντες ⌜ Φαρισαῖοι ⌝ ἐπηρώτησαν αὐτόν, Εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα ἀπολῦσαι, πειράζοντες αὐτόν. Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, Τί ὑμῖν ἐνετείλατο (ordenó) Μωσῆς;

63. Καὶ ἐάν τις ὑμῖν εἴπῃ, Τί ποιεῖτε τοῦτο; Εἴπατε, ὅτι Ὁ κύριος αὐτοῦ χρείαν ἔχει· καὶ εὐθέως αὐτὸν ἀποστελλεῖ ὧδε. (ΚΑΤΑ ΜΑΡΚΟΝ 11:3)

64. Τὸ βάπτισμα (bautismo) Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων; Ἀποκρίθητέ μοι. Καὶ ἐλογίζοντο πρὸς ἑαυτούς, λέγοντες, Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ, ἐρεῖ, Διὰ τί οὖν οὐκ ἐπιστεύσατε αὐτῷ; Ἀλλ' εἴπωμεν, Ἐξ ἀνθρώπων, ἐφοβοῦντο τὸν λαόν· ἅπαντες γὰρ εἶχον τὸν Ἰωάννην, ὅτι ὄντως (verdaderamente) προφήτης ἦν. Καὶ ἀποκριθέντες λέγουσιν τῷ Ἰησοῦ, Οὐκ οἴδαμεν. Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς λέγει αὐτοῖς, Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.

65. Διδάσκαλε, Μωσῆς ἔγραψεν ἡμῖν, ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ, καὶ καταλίπῃ (deja) γυναῖκα, καὶ τέκνα μὴ ἀφῇ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ, καὶ ἐξαναστήσῃ

(levanta) σπέρμα τῷ ἀδελφῷ αὐτοῦ· ἑπτὰ ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος ἔλαβεν γυναῖκα, καὶ ἀποθνῄσκων οὐκ ἀφῆκεν σπέρμα· καὶ ὁ δεύτερος ἔλαβεν αὐτήν, καὶ ἀπέθανεν, καὶ οὐδὲ αὐτὸς ἀφῆκεν σπέρμα· καὶ ὁ τρίτος… Καὶ ἔλαβον αὐτὴν οἱ ἑπτά, καὶ οὐκ ἀφῆκαν σπέρμα. Ἐσχάτη πάντων ἀπέθανεν καὶ ἡ γυνή. Ἐν τῇ ἀναστάσει, ὅταν ἀναστῶσιν, τίνος αὐτῶν ἔσται γυνή; Οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς, Οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς γραφάς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ; (ΚΑΤΑ ΜΑΡΚΟΝ 12:19-24)

66. Ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος. Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς ἄρτον εὐλογήσας ἔκλασεν (partió), καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπεν, Λάβετε, φάγετε· τοῦτό ἐστιν τὸ σῶμά μου. Καὶ λαβὼν τὸ ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς· καὶ ἔπιον ἐξ αὐτοῦ πάντες.

67. Καὶ προσελθὼν μικρόν, ἔπεσεν ἐπὶ τῆς γῆς, καὶ προσηύχετο ἵνα, εἰ δυνατόν ἐστιν, παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα. Καὶ ἔλεγεν, Ἀββᾶ, ὁ πατήρ, πάντα δυνατά σοι. Παρένεγκε (Que pase) τὸ ποτήριον ἀπ' ἐμοῦ τοῦτο· ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί σύ. Καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας (durmiendo), καὶ λέγει τῷ Πέτρῳ, Σίμων, καθεύδεις (*por qué* estás durmiendo); (ΚΑΤΑ ΜΑΡΚΟΝ 14:35-37)

68. Καὶ εἶπεν αὐτῷ ὁ διάβολος (diablo), Εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος. Καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτόν, λέγων, Γέγραπται ὅτι Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ⌜ ἄνθρωπος, ⌝ ἀλλ' ἐπὶ παντὶ ῥήματι θεοῦ.

69. Καὶ εἶπεν αὐτῷ ὁ διάβολος (diablo), Σοὶ δώσω τὴν ἐξουσίαν ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν· ὅτι ἐμοὶ παραδέδοται, καὶ ᾧ ἐὰν θέλω δίδωμι αὐτήν. Σὺ οὖν ἐὰν προσκυνήσῃς ἐνώπιον ἐμοῦ, ἔσται σοῦ πᾶσα. Καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν ὁ Ἰησοῦς, Ὕπαγε ὀπίσω μου, Σατανᾶ· γέγραπται, Προσκυνήσεις κύριον τὸν θεόν σου, καὶ αὐτῷ μόνῳ λατρεύσεις (servirás). (ΚΑΤΑ ΛΟΥΚΑΝ 4:6-8)

